nus qui est, et qui fuit et venit, omnipotens, et sicubi alibi dei omnipotentis appellationem non putant etiam filio convenire. Quasi qui venturus sit non omnipotens, cum et filius omnipotentis tam omnipotens sit quam deus dei filius.

1. *qui est et qui venit* A Leid.; *qui est et qui erat et qui fuit et qui venit* B. — 3. *sit non omnipotens* coniec. Oehler; *non sit omnipotens* d cum Fulv. Urs.; *sit omnipotens* ABabc; *tam omnipotens sit* Leid. — 4. *sit etc.* d ex emend. Fulv. Urs.; *sit dei filius quam deus dei filius* ABabc. Leid. [Adv. Prax. 17].

35. Nec semel sed ter ad singula nomina in personas singulas tinguimur. [Adv. Prax. 26].

36. Filius igitur et moritur et resuscitatur a patre secundum scripturas. Filius ascendit in superiora coelorum, qui et descendit in inferiora terrae. Hic sedet ad dexteram patris; non pater ad suam. Hunc videt Stephanus, cum lapidaretur, adhuc stantem ad dexteram dei, ut exinde sessurum, donec ponat illi pater omnes inimicos sub pedibus suis. Et hic venturus est rursus super nubes caeli talis qualis et ascendit. Hic interim acceptum a patre munus effudit, spiritum sanctum, tertium nomen divinitatis. . . . ., deductorem omnis veritatis, quae est in patre et filio et spiritu sancto secundum Christianum sacramentum.

9. *inferiora* A Leid; *interiora* reliq. — 10. *lapidaretur* ABabc Leid.; *lapidatur* d. Fulv. Urs. — 12. *Et hic* A Leid.; *hic et* reliq. — 14. *numen* abc. [Adv. Prax. 30].

37. Et mortem et sepulturam et resurrectionem Christi mei. [Adv. Iud. 10].

IRENAEUS.

Τοῦ γὰρ Ἰωάννου ἕνα θεὸν παντοκράτορα καὶ ἕνα μονογενῆ Χριστὸν Ἰησοῦν κηρύσσοντος, ...

18. *παντοκράτορα* Codd. Epiph.; *exponente* ex errore Codd. Lat. [Iren. I, 9, 1. Ex recens. W. Harvey. Cantabr. 1857 Opp. I, p. 82. Graece ex Epiph.].

2. Εἰ δὲ ὁ λόγος ὁ τοῦ πατρὸς ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς, ὁ τοῦ μόνου θεοῦ μονογενὴς υἱός, ...

21. *ab uno deo* ex errore Codd. Lat. [Iren. I, 9, 3. Opp. I, p. 84].

3. Οὕτω δὲ καὶ ὁ τὸν κανόνα τῆς ἀληθείας ἀκλινῆ ἐν ἑαυτῷ κατέχων, ὃν διὰ τοῦ βαπτίσματος εἴληφε, ...

[Iren. I, 9, 4. Opp. I, p. 87 sq. cf. I, 9, 5. Opp. I, p. 89: *ἡ ὑπὸ τῆς ἐκκλησίας κηρυσσομένη ἀλήθεια*].

4. Ἡ μὲν γὰρ ἐκκλησία, καίπερ καθ᾽ ὅλης τῆς οἰκουμένης ἕως περάτων τῆς γῆς διεσπαρμένη, παρὰ δὲ τῶν ἀποστόλων καὶ τῶν ἐκείνων μαθητῶν παραλαβοῦσα τὴν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, τὸν πεποιηκότα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐτοῖς, πίστιν· καὶ εἰς ἕνα Χριστὸν Ἰησοῦν, τὸν υἱὸν τοῦ θεοῦ, τὸν σαρκωθέντα ὑπὲρ τῆς ἡμετέρας σωτηρίας· καὶ εἰς πνεῦμα ἅγιον, τὸ διὰ τῶν προφητῶν κεκηρυχὸς τὰς οἰκονομίας καὶ τὰς ἐλεύσεις καὶ τὴν ἐκ παρθένου γέννησιν καὶ τὸ πάθος καὶ τὴν ἔγερσιν ἐκ νεκρῶν καὶ τὴν ἔνσαρκον εἰς τοὺς οὐρανοὺς ἀνάληψιν τοῦ ἠγαπημένου Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν καὶ τὴν ἐκ τῶν οὐρανῶν ἐν τῇ δόξῃ τοῦ πατρὸς παρουσίαν αὐτοῦ ἐπὶ τὸ ἀνακεφα-

24. *καίπερ* om. Codd. Lat. — 25. *seminata et ab apostolis* Codd. Lat. — 27. *mare* Codd. Lat. — 28. *Christum Iesum* Cod. Arund. — 30 sq. *dispositiones dei et adventum* Codd. Lat. — 31 sq. *resurrectionem* Codd. Lat. — 32. *ascensionem* Codd. Lat. — 33. *Iesu Christi* Codd. Lat.

λαιώσασθαι τὰ πάντα καὶ ἀναστῆσαι πᾶσαν σάρκα πάσης ἀνθρωπότητος, ἵνα Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν καὶ θεῷ καὶ σωτῆρι καὶ βασιλεῖ κατὰ τὴν εὐδοκίαν τοῦ πατρὸς τοῦ ἀοράτου πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται αὐτῷ καὶ κρίσιν δικαίαν ἐν τοῖς πᾶσι ποιήσηται· τὰ μὲν πνευματικὰ τῆς πονηρίας καὶ ἀγγέλους [τοὺς] παραβεβηκότας καὶ ἐν ἀποστασίᾳ γεγονότας καὶ τοὺς ἀσεβεῖς καὶ ἀδίκους καὶ ἀνόμους καὶ βλασφήμους τῶν ἀνθρώπων εἰς τὸ αἰώνιον πῦρ πέμψῃ· τοῖς δὲ δικαίοις καὶ ὁσίοις καὶ τὰς ἐντολὰς αὐτοῦ τετηρηκόσι καὶ ἐν τῇ ἀγάπῃ αὐτοῦ διαμεμενηκόσι τοῖς [μὲν] ἀπ' ἀρχῆς, τοῖς δὲ ἐκ μετανοίας, ζωὴν χαρισάμενος ἀφθαρσίαν δωρήσηται καὶ δόξαν αἰωνίαν περιποιήσῃ.

1 sq. *omnem carnem humani generis* Codd. Lat. — 6. *τούς* add. Harv. — *transgressos* Cod. Clar.; *transgressores* Cod. Arund. — 8. *homines* Codd. Lat. — 10. *μέν* Codd. Lat. (*quidem*); deest ap. Epiph. — 11. *δωρήσηται*; *loco muneris conferat* Codd. Lat. — *circumdet* Codd. Lat. [Iren. I, 10, 1. Opp. I, p. 90 sq. Graece ap. Epiph. haer. 31, c. 30].

5. Τοῦτο τὸ κήρυγμα παρειληφυῖα, καὶ ταύτην τὴν πίστιν, ὡς προέφαμεν, ἡ ἐκκλησία, καίπερ ἐν ὅλῳ τῷ κόσμῳ διεσπαρμένη, ἐπιμελῶς φυλάσσει, ὡς ἕνα οἶκον οἰκοῦσα· καὶ ὁμοίως πιστεύει τούτοις, ὡς μίαν ψυχὴν καὶ τὴν αὐτὴν ἔχουσα καρδίαν, καὶ συμφώνως ταῦτα κηρύσσει καὶ διδάσκει καὶ παραδίδωσιν, ὡς ἓν στόμα κεκτημένη. Καὶ γὰρ αἱ κατὰ τὸν κόσμον διάλεκτοι ἀνόμοιαι, ἀλλ' ἡ δύναμις τῆς παραδόσεως μία καὶ ἡ αὐτή. Καὶ οὔτε αἱ ἐν Γερμανίαις ἱδρυμέναι ἐκκλησίαι ἄλλως πεπιστεύκασιν, ἢ ἄλλως παραδιδόασιν, οὔτε ἐν ταῖς Ἰβηρίαις οὔτε ἐν Κέλτοις οὔτε κατὰ τὰς ἀνατολὰς οὔτε ἐν Αἰγύπτῳ οὔτε ἐν Λιβύῃ οὔτε αἱ κατὰ μέσα τοῦ κόσμου ἱδρυμέναι· ἀλλ' ὥσπερ ὁ ἥλιος, τὸ κτίσμα τοῦ θεοῦ, ἐν ὅλῳ τῷ κόσμῳ εἷς καὶ ὁ αὐτός, οὕτω καὶ τὸ κήρυγμα τῆς ἀληθείας πανταχῇ φαίνει καὶ φωτίζει πάντας ἀνθρώπους τοὺς βουλομένους εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Καὶ οὔτε ὁ πάνυ δυνατὸς ἐν λόγῳ τῶν ἐν ταῖς ἐκκλησίαις προεστώτων, ἕτερα τούτων ἐρεῖ· οὐδεὶς γὰρ ὑπὲρ τὸν διδάσκαλον· οὔτε ὁ ἀσθενὴς ἐν τῷ λόγῳ ἐλαττώσει τὴν παράδοσιν. Μιᾶς γὰρ καὶ τῆς αὐτῆς πίστεως οὔσης οὔτε ὁ πολὺ περὶ αὐτῆς δυνάμενος εἰπεῖν ἐπλεόνασεν, οὔτε ὁ τὸ ὀλίγον ἠλαττόνησε.

15. *videlicet quasi unam animam habens et unum cor* Codd. Lat. — 16 sq. *καὶ γὰρ αἱ; nam etsi* (*καὶ γὰρ εἰ*) Codd. Lat. — 20. *in oriente* Codd. Lat. — 23. *οὕτω καί; sic et lumen* Codd. Lat.

[Iren. I, 10, 2. Opp. I, p. 92 sq. Graece ap. Epiph l. c.].

6. Cum teneamus autem nos regulam veritatis, id est, quia sit unus deus omnipotens, qui omnia condidit per verbum suum et aptavit et fecit ex eo quod non erat ad hoc, ut sint omnia .... hic pater domini nostri Iesu Christi.

[Iren. I, 22, 1. Opp. I, p. 188 sq.; cf. I, 16, 3. Opp. I, p. 163: *τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς μόνον θεὸν παντοκράτορα*].

7. Bene igitur habet a primo et maximo capitulo inchoare nos, a demiurgo deo, qui fecit coelum et terram et omnia quae in eis sunt... et solus pater et solus continens omnia [μόνος πάντα κρατῶν] ...

[Iren. II, 1, 1. Opp. I, p. 251; cf. II, 30, 1. Opp. I p. 361 et m. al. loc.].

8. Ex hoc autem quod dominus surrexit a mortuis in tertia die ... et discipulis se manifestavit et videntibus eis receptus est in coelum ... [Iren. II, 32, 3. Opp. I, p. 374].

9. Οὐκ ἔστιν ἀριθμὸν εἰπεῖν τῶν χαρισμάτων ὧν κατὰ παντὸς

τοῦ κόσμου ἡ ἐκκλησία παρὰ θεοῦ λαβοῦσα ἐν τῷ ὀνόματι Χριστοῦ Ἰησοῦ τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου . . . ἐπιτελεῖ.

1 sq. *Χριστοῦ Ἰησοῦ* Codd. Lat.; *Ἰ. Χρ.* Euseb.

[Iren. II, 32, 4. Opp. I, p. 375. Graece ap. Euseb. h. e. V, 7].

10. Et omnes isti. (*scil. evangelistae*) unum deum factorem coeli et terrae a lege et prophetis annuntiatum et unum Christum filium dei tradiderunt nobis. [Iren III, 1, 2. Opp. II, p. 6].

11. Cum autem ad eam iterum traditionem, quae est ab apostolis, quae per successiones presbyterorum in ecclesiis custoditur, provocamus eos, adversantur traditioni . . . Evenit itaque neque scripturis iam neque traditioni consentire eos [Iren. III, 2, 2. Opp. II, p. 7 sq.].

12. Traditionem itaque apostolorum in toto mundo manifestatam, in omni ecclesia adest perspicere omnibus qui vera velint videre, et habemus annumerare eos qui ab apostolis instituti sunt episcopi in ecclesiis et successiones eorum usque ad nos . . . Sed quoniam valde longum est, in hoc tali volumine omnium ecclesiarum enumerare successiones, maximae et antiquissimae et omnibus cognitae, a gloriosissimis duobus apostolis Paulo et Petro Romae fundatae et constitutae ecclesiae eam quam habet ab apostolis traditionem et annuntiatam hominibus fidem per successiones episcoporum pervenientem usque ad nos indicantes confundimus omnes eos, qui quoquo modo vel per sibiplacentiam malam vel vanam gloriam vel per caecitatem et malam sententiam praeterquam oportet colligunt. Ad hanc enim ecclesiam propter potentiorem principalitatem necesse est omnem convenire ecclesiam, hoc est, eos qui sunt undique fideles, in qua semper ab his qui sunt undique conservata est ea quae est ab apostolis traditio.

16. *Paulo et Petro* Codd. Clarom. Voss.; *Pet. et Paulo* cett. et editt. — 22. *pontiorem* Cod. Clarom. — 23. *eos* om. Cod. Arund.

[Iren. III, 3, 1. Opp. II, p. 8 sq.].

13. . . . ἀπὸ τῶν ἀποστόλων παράδοσιν, annuntiantem unum deum omnipotentem, factorem coeli et terrae. . . . Hunc patrem domini nostri Iesu Christi ab ecclesiis annuntiari, ex ipsa scriptura (*scil. ex ep. eccl. Romanae per Clementem ad Corinthios scriptae*) qui velint discere possunt et apostolicam ecclesiae traditionem intelligere.

26. *omnipotentem* om. Codd. Clarom. Voss.

[Iren. III, 3, 3. Opp. II, p. 11. Graece ap. Euseb. h. e. V, 6].

14. [*Post episcoporum eccl. Romanae seriem descriptam*] Τῇ αὐτῇ τάξει καὶ τῇ αὐτῇ διαδοχῇ ἥ τε ἀπὸ τῶν ἀποστόλων ἐν τῇ ἐκκλησίᾳ παράδοσις καὶ τὸ τῆς ἀληθείας κήρυγμα κατήντηκεν εἰς ἡμᾶς. Et est plenissima haec ostensio, unam et eandem vivificatricem fidem esse, quae in ecclesia ab apostolis usque nunc sit conservata et tradita in veritate.

30 sq. *τῇ αὐτῇ τάξει κτλ.*; *hac ordinatione et successione* Codd. Lat. — 31. *διαδοχῇ* Codd. Lat. (*successione*); *διδαχῇ* Codd. Euseb.

[Iren. III, 3, 3. Opp. II, 11 sq. Graece ap. Euseb. h. e. V, 6].

15. Πολύκαρπος . . . ταῦτα διδάξας ἀεί, ἃ καὶ παρὰ τῶν ἀποστόλων ἔμαθεν, ἃ καὶ τῇ ἐκκλησίᾳ παραδίδωσιν, ἃ καὶ μόνα ἐστὶν ἀληθῆ . . . Μίαν καὶ μόνην ταύτην ἀλήθειαν κηρύξας ὑπὸ τῶν ἀποστόλων παρειληφέναι, τὴν ὑπὸ τῆς ἐκκλησίας παραδεδομένην.

35. *ἃ καὶ παρά*; *quae ab* Codd. Lat. — 36. *ἃ καὶ τῇ ἐκκλησίᾳ* Codd. Lat. (*quae et ecclesiae tradidit*) Ruf. hist. eccl. (*et haec ecclesiae tradebat*); *ἃ καὶ ἡ ἐκκλησία* Codd. Euseb. — 38. *τὴν ὑπὸ κτλ.* Codd. Euseb.; *quam et ecclesiae tradidit* Codd. Lat.

[Iren. III, 3, 4. Opp. II, p. 12 sq.; cf. p. 15. Graece ap. Euseb. h. e. IV, 14].

16. Propter quod oportet . . . quae sunt ecclesiae cum summa diligentia diligere et apprehendere veritatis traditionem. Quid enim? Et si de aliqua modica quaestione disceptatio esset, nonne oporteret in antiquissimas recurrere ecclesias, in quibus apostoli conversati sunt, et ab eis de praesenti quaestione sumere quod certum et re liquidum est. Quid autem si neque apostoli quidem scripturas reliquissent nobis, nonne oportebat ordinem sequi traditionis, quam tradiderunt iis, quibus committebant ecclesias? Cui ordinationi assentiunt multae gentes barbarorum eorum qui in Christum credunt, sine charta vel atramento scriptam habentes per spiritum in cordibus suis salutem, et veterem traditionem diligenter custodientes, in unum deum credentes factorem coeli et terrae et omnium quae in eis sunt, per Christum Iesum dei filium. Qui propter eminentissimam erga figmentum suum dilectionem eam quae esset ex virgine generationem sustinuit, ipse per se hominem adunans deo et passus sub Pontio Pilato et resurgens et in claritate receptus, in gloria venturus salvator eorum qui salvantur et iudex eorum qui iudicantur et mittens in ignem aeternum transfiguratores veritatis et contemtores patris sui et adventus eius. Hanc fidem qui sine literis crediderunt, quantum ad sermonem nostrum barbari sunt . . . . Sic per illam veterem apostolorum traditionem, ne in conceptionem quidem mentis admittunt (*scil. barbari Christiani*), quodcunque eorum (*scil. haereticorum*) portentiloquium est, neque enim congregatio fuit apud eos neque doctrina instituta. 23. *neque dum* Cod. Voss. [Iren. III, 4, 1 sq. Opp. II, p. 15 sq.].

17. Omnia igitur talia circumscribere volens discipulus domini (*scil. Ioannes*) et regulam veritatis constituere in ecclesia, quia est unus deus omnipotens, qui per verbum suum omnia fecit et visibilia et invisibilia. [Iren. III, 11, 1. Opp. II, p. 40 sq.].

18. Ὁ παθὼν ἐπὶ Ποντίου Πιλάτου οὗτος κύριος τῶν πάντων.
[Iren. III, 12, 9. Opp. II, p. 63. Graece in Cat. Cram. in Act. Apost. p. 160].

19. Non ergo alterum filium hominis novit evangelium nisi hunc qui ex Maria, qui et passus est; . . . . sed hunc qui natus est Iesum Christum novit dei filium et eundem hunc passum resurrexisse. . .
Ipse est Iesus Christus dominus noster, qui et passus est pro nobis et surrexit propter nos et rursus venturus est in gloria patris ad resuscitandam universam carnem et ad ostensionem salutis, et regulam iusti iudicii ostendere omnibus qui sub ipso facti sunt. Unus igitur deus pater et unus Christus Iesus dominus noster.
[Iren. III, 16, 5 sq. Opp. II, p. 86 sq.].

20. Φανερὸν οὖν, ὅτι Παῦλος ἄλλον Χριστὸν οὐκ οἶδεν ἀλλ' ἢ τοῦτον τὸν καὶ παθόντα καὶ ταφέντα καὶ ἀναστάντα καὶ γεννηθέντα.
[Iren. III, 18, 3. Opp. II, p. 96. Graece ap. Theodoret. Dial. III Ἀπαθής].

21. . . quae est in fide nostra; quam perceptam ab ecclesia custodimus et quae semper a spiritu dei . . . . cuius non sunt participes omnes qui non concurrunt ad ecclesiam . . Ubi enim ecclesia, ibi et spiritus dei, et ubi spiritus dei, illic ecclesia et omnis gratia, spiritus autem veritas. Quapropter qui non participant eum . . . effugientes fidem ecclesiae, ne traducantur, reicientes vero spiritum, ut non erudiantur.

42. *currunt* Codd. Claromont. Voss. Feuard. in margine. — 43. *et ubi spiritus dei* om. Cod. Claromont.

[Iren. III, 24, 1. Opp. II, p. 131 sq.].

22. Qui credunt in unum et verum deum et Christum Iesum filium dei. [Iren. IV, 1, 2. Opp. II, p. 146].

23. Neque alium Christum et dei filium exspectabimus, sed hunc qui ex Maria virgine, qui et passus est.

4. *virgine* om. Codd. Ar. et Claromont.

[Iren. IV, 9, 2. Opp. II, p. 170].

24. Unus deus pater qui continet omnia.

[Iren. IV, 20, 6. Opp. II, p. 218].

25. Εἰς ἕνα θεὸν παντοκράτορα, ἐξ οὗ τὰ πάντα, πίστις ὁλόκληρος· καὶ εἰς τὸν υἱὸν τοῦ θεοῦ Χριστὸν Ἰησοῦν τὸν κύριον ἡμῶν, δι' οὗ τὰ πάντα, καὶ τὰς οἰκονομίας αὐτοῦ, δι' ὧν ἄνθρωπος ἐγένετο ὁ υἱὸς τοῦ θεοῦ, πεισμονὴ βεβαία· καὶ εἰς τὸ πνεῦμα τοῦ θεοῦ, qui praestat agnitionem veritatis, τὸ τὰς οἰκονομίας πατρός τε καὶ υἱοῦ σκηνοβατοῦν καθ' ἑκάστην γενεὰν ἐν τοῖς ἀνθρώποις καθὼς βούλεται ὁ πατήρ. Γνῶσις ἀληθὴς ἡ τῶν ἀποστόλων διδαχή· καὶ τὸ ἀρχαῖον τῆς ἐκκλησίας σύστημα κατὰ παντὸς τοῦ κόσμου, et character corporis Christi secundum successiones episcoporum, quibus illi eam quae in unoquoque loco est ecclesiam tradiderunt, quae pervenit usque ad nos custodita sine fictione scripturarum tractatione plenissima, neque additamentum neque ablationem recipiens, et lectio sine falsatione et secundum scripturas expositio legitima et diligens, et sine periculo et sine blasphemia.

6. *εἰς ἕνα ... πίστις;* Clerm. and Ar. and every other MS. omit *in*, and for *fides*, the former reads *fide* (Harvey). — 7. *Χρ. Ἰησ.* Codd. Lat.; *Ἰησ. Χρ.* Ioann. Damasc. — 9. *καὶ εἰς* Ioann. Damasc; *quae est in spiritu* Codd. Lat. — *qui etc.* om. Ioann. Damasc. — 11. *σκηνοβατοῦν; exposuit* Codd. Lat. — *καθ' ἑκάστην κτλ.; secundum quas aderat generi humano* Codd. Lat. — 16. *custodita;* the Arund. reading is followed, as far preferable to that of the Clerm., Voss. and Cod. Vet. of Feuard., *custoditione;* Merc. I.: *custoditio* (Harvey). — *tractatione;* suo iure Harvey: the creed is here meant, the completeness of which is set forth in very similar terms at the end of I, 10, 2. — *plenissima tractatione* Cod. Arund. omittens *neque additamentum; tractatio* al.

[Iren. IV, 33, 7 sq. Opp. II, p. 261 sq. Graece e Parall. Ioann. Damasc.].

26. Omnes enim ii valde posteriores sunt quam episcopi, quibus apostoli tradiderunt ecclesias ... Eorum autem qui ab ecclesia sunt semita, circumiens mundum universum, quippe firmam habens ab apostolis traditionem, et videre nobis donans omnium unam et eandem esse fidem, omnibus unum et eundem deum patrem praecipientibus, et eandem dispositionem incarnationis filii dei credentibus et eandem donationem spiritus scientibus et eadem meditantibus praecepta et eandem figuram eius quae est erga ecclesiam ordinationem custodientibus et eundem exspectantibus adventum domini et eandem salutem totius hominis, id est animae et corporis, sustinentibus.

23. *ab apostolis* Cod. Arund.; *apostolis* Cod. Clarom.[1]; *apostoli* Vet. Voss.; *apostolorum* Cod. Clarom.[2] — 24 sq. *praecipientibus* Clarom. Vet. Voss.; *recipientibus* Arund. — 27. *eius* om. Arund. — *erga* om. Arund. — 27 sq. Harvey: *καὶ τὸ αὐτὸ σχῆμα τῆς περὶ τὴν ἐκκλησίαν καταστάσεως τηρούντων.* [Iren. V, 20, 1. Opp. II, p. 377 sq.].

27. Ὁρκίζω σε ... κατὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ κατὰ τῆς ἐνδόξου παρουσίας αὐτοῦ, ἧς ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς. [Iren. in libr. de Ogdoade, ap. Euseb. h. e. V, 20, 2].

IUSTINUS.

1. . . . ἀλλ' οὐχὶ τοῦ ἀληθεστάτου καὶ πατρὸς δικαιοσύνης καὶ σωφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν, ἀνεπιμίκτου τε κακίας θεοῦ (scil. ἄθεοί ἐσμεν), ἀλλ' ἐκεῖνόν τε καὶ τὸν παρ' αὐτοῦ υἱὸν ἐλθόντα καὶ διδάξαντα ἡμᾶς ταῦτα καὶ τὸν τῶν ἄλλων ἑπομένων καὶ ἐξομοιουμένων ἀγαθῶν ἀγγέλων στρατόν, πνεῦμά τε τὸ προφητικὸν σεβόμεθα καὶ προσκυνοῦμεν.

4. *καὶ τὸν τῶν κτλ.* e contextu huius additamenti difficultas facile explicatur.

[Iust. Apol. I, 6 p. 56 B. Ex recens. Th. de Otto. Ienae. 1876].

2. Ἄθεοι μὲν οὖν ὡς οὐκ ἐσμέν, τὸν δημιουργὸν τοῦδε τοῦ παντὸς σεβόμενοι . . . τὸν διδάσκαλόν τε τούτων γενόμενον ἡμῖν καὶ εἰς τοῦτο γεννηθέντα Ἰησοῦν Χριστόν, τὸν σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου, τοῦ γενομένου ἐν Ἰουδαίᾳ ἐπὶ χρόνοις Τιβερίου Καίσαρος ἐπιτρόπου, υἱὸν αὐτὸν τοῦ ὄντως θεοῦ μαθόντες καὶ ἐν δευτέρᾳ χώρᾳ ἔχοντες, πνεῦμά τε προφητικὸν ἐν τρίτῃ τάξει ὅτι μετὰ λόγου τιμῶμεν, ἀποδείξομεν. 11. *αὐτόν* Editt. *αὐτοῦ* Codd. [Iust. Apol. I, 13 p. 60 C—E].

3. Τῷ δὲ καὶ τὸν λόγον, ὅ ἐστι πρῶτον γέννημα τοῦ θεοῦ ἄνευ ἐπιμιξίας φάσκειν ἡμᾶς γεγεννῆσθαι, Ἰησοῦν Χριστόν, τὸν διδάσκαλον ἡμῶν, καὶ τοῦτον σταυρωθέντα καὶ ἀποθανόντα καὶ ἀναστάντα ἀνεληλυθέναι εἰς τὸν οὐρανόν . . . . [Iust. Apol. I, 21 p. 66 E].

4. Ἰησοῦς Χριστὸς μόνος ἰδίως υἱὸς τῷ θεῷ γεγέννηται.

[Iust. Apol. I, 23 p. 68 C].

5. Ἐν δὴ ταῖς τῶν προφητῶν βίβλοις εὕρομεν προκηρυσσόμενον παραγινόμενον, γεννώμενον διὰ παρθένου . . καὶ σταυρούμενον Ἰησοῦν τὸν ἡμέτερον Χριστὸν καὶ ἀποθνήσκοντα καὶ ἀνεγειρόμενον καὶ εἰς οὐρανοὺς ἀνερχόμενον καὶ υἱὸν θεοῦ ὄντα καὶ κεκλημένον.

[Iust. Apol. I, 31 p. 73 A].

6. Ὁ καθ' ἡμᾶς δὲ Ἰησοῦς Χριστὸς σταυρωθεὶς καὶ ἀποθανὼν ἀνέστη καὶ ἐβασίλευσεν ἀνελθὼν εἰς οὐρανόν. [Iust. Apol. I, 42 p. 80 C].

7. Διὰ δυνάμεως τοῦ λόγου κατὰ τὴν τοῦ πατρὸς πάντων καὶ δεσπότου θεοῦ βουλὴν διὰ παρθένου ἄνθρωπος ἀπεκυήθη καὶ Ἰησοῦς ἐπωνομάσθη καὶ σταυρωθεὶς καὶ ἀποθανὼν ἀνέστη καὶ ἀνελήλυθεν εἰς οὐρανόν.

27. *καί* ante *ἀποθανών* deest in Codd. [Iust. Apol. I, 46 p. 83 E].

8. Δύο γὰρ αὐτοῦ παρουσίας προεκήρυξαν οἱ προφῆται· μίαν μέν, τὴν ἤδη γενομένην, ὡς ἀτίμου καὶ παθητοῦ ἀνθρώπου, τὴν δὲ δευτέραν, ὅταν μετὰ δόξης ἐξ οὐρανῶν μετὰ τῆς ἀγγελικῆς αὐτοῦ στρατιᾶς παραγενήσεσθαι κεκήρυκται, ὅτε καὶ τὰ σώματα ἀνεγερεῖ πάντων τῶν γενομένων ἀνθρώπων, καὶ τῶν μὲν ἀξίων ἐνδύσει ἀφθαρσίαν, τῶν δὲ ἀδίκων ἐν αἰσθήσει αἰωνίᾳ . . εἰς τὸ αἰώνιον πῦρ πέμψει.

33. *ἐνδύσει* Maran.; *ἐνδύσῃ* Codd. [Iust. Apol. I, 52 p. 87 A].

9. Ἐπ' ὀνόματος γὰρ τοῦ πατρὸς τῶν ὅλων καὶ δεσπότου θεοῦ καὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ πνεύματος ἁγίου τὸ ἐν τῷ ὕδατι τότε λουτρὸν ποιοῦνται. . . . Τὸ τοῦ πατρὸς τῶν ὅλων καὶ δεσπότου θεοῦ ὄνομα αὐτὸ τοῦτο μόνον ἐπιλέγοντος τοῦ τὸν λουσόμενον ἄγοντος ἐπὶ τὸ λουτρόν . . . καὶ ἐπ' ὀνόματος δὲ Ἰησοῦ Χριστοῦ, τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, καὶ ἐπ' ὀνόματος πνεύματος ἁγίου, ὃ διὰ τῶν προφητῶν προεκήρυξε τὰ κατὰ τὸν Ἰησοῦν πάντα, ὁ φωτιζόμενος λούεται.

38 sq. *μόνον ἐπιλέγοντες, τοῦτον λουσόμενον ἄγοντες ἐπί* Codd.; emend. Thirlbius. [Iust Apol. I, 61].

10. Διὰ παρθένου ἄνθρωπος γενόμενος . . καὶ ἐξουθενηθῆναι καὶ παθεῖν ὑπέμεινεν, ἵνα ἀποθανὼν καὶ ἀναστὰς νικήσῃ τὸν θάνατον.
[Iust. Apol. I, 63 p. 96 D].

11. Αἶνον καὶ δόξαν τῷ πατρὶ τῶν ὅλων διὰ τοῦ ὀνόματος τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τοῦ ἁγίου ἀναπέμπει (scil. ὁ προεστώς).
4. *αἶνον* Codd. AB; *ὕμνον* C. [Iust. Apol. I, 65 p. 97 D].

12. Εὐλογοῦμεν τὸν ποιητὴν τῶν πάντων διὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ διὰ πνεύματος τοῦ ἁγίου.
[Iust. Apol. I, 67 p. 98 C].

13. Ὁ δὲ υἱὸς ἐκείνου (scil. τοῦ θεοῦ), ὁ μόνος λεγόμενος κυρίως υἱός . . . . Πολλοὶ τῶν ἡμετέρων ἀνθρώπων, τῶν Χριστιανῶν, ἐπορκίζοντες κατὰ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ, τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου . . . μὴ ἰαθέντας ἰάσαντο. [Iust. Apol. II, 6].

14.[1]) . . . . καὶ τὸν ποιητὴν τῶν ὅλων θεὸν καὶ πατέρα ἐδόξαζον καὶ τὸν παρ' αὐτοῦ Χριστὸν υἱὸν αὐτοῦ κατήγγελλον . . .
11. coniec. Otto: *καὶ πατέρα θεὸν* aut: *καὶ θεὸν καὶ πατέρα.* — cfr. c. 56. p. 186. 188. 190. 194. c 57. p. 200. c. 58 p. 202. c. 60. p. 210. c. 61. p. 214. c. 114. p. 408. c. 117. p. 420.
[Iustin. Dial. c. Tryph. Ex recens. de Otto. Ienae. 1877. c. 7. p. 32].

15. . . . καὶ νῦν τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν καὶ τὸν πέμψαντα αὐτὸν παντοκράτορα καὶ ποιητὴν τῶν ὅλων θεὸν ἀθετεῖτε . . .
13 sq. cfr. c. 140. p. 494. — 14. cfr. c. 38. p. 128. c. 96 p. 348.
[Iustin. Dial. c 16. p. 60].

16. . . . . ἐξ ὧν καὶ κύριον τὸν Χριστὸν ὑπὸ τοῦ ἁγίου προφητικοῦ πνεύματος λεγόμενον νοήσετε, καὶ τὸν κύριον πάντων πατέρα ἀνάγοντα αὐτὸν ἀπὸ τῆς γῆς καὶ καθίζοντα αὐτὸν ἐν δεξιᾷ αὐτοῦ, ἕως ἂν θῇ τοὺς ἐχθροὺς ὑποπόδιον τῶν ποδῶν αὐτοῦ· ὅπερ γίνεται ἐξ ὅτου εἰς τὸν οὐρανὸν ἀνελήφθη μετὰ τὸ ἐκ νεκρῶν ἀναστῆναι ὁ ἡμέτερος κύριος Ἰησοῦς Χριστός.
16. cfr. c. 127. p. 456. 458. — 19. cfr. c. 41. p. 140. c. 49. p. 166. c. 50. p. 170. c. 93. p. 338. c. 112. p. 400. c. 113. p. 404. c. 115. p. 412.
[Iustin. Dial. c. 32. p. 106].

17. Ὁ γὰρ Χριστὸς βασιλεὺς καὶ ἱερεὺς καὶ θεὸς καὶ κύριος καὶ ἄγγελος καὶ ἄνθρωπος καὶ ἀρχιστράτηγος καὶ λίθος καὶ παιδίον γεννώμενον καὶ παθητὸς γενόμενος πρῶτον, εἶτα εἰς οὐρανὸν ἀνερχόμενος καὶ πάλιν παραγινόμενος μετὰ δόξης καὶ αἰώνιον τὴν βασιλείαν ἔχων κεκήρυκται . .
21. cfr. c. 49. p. 166. 170. – 23. cfr. c. 41. p. 138. — 24. cfr. c. 14. p. 54. c. 110. p. 388. [Iustin. Dial. c. 34. p. 112].

18. . . . ὅτι παθητὸς Χριστὸς προεφητεύθη μέλλειν εἶναι καὶ λίθος κέκληται καὶ ἔνδοξος μετὰ τὴν πρώτην αὐτοῦ παρουσίαν, ἐν ᾗ παθητὸς φαίνεσθαι κεκήρυκτο, ἐλευσόμενος καὶ κριτὴς πάντων, λοιπὸν καὶ αἰώνιος βασιλεὺς καὶ ἱερεὺς γενησόμενος . .
27. cfr. c. 31. p. 102. c. 35. p. 122. c. 49. p. 166. c. 86. p. 310. c. 110. p. 388. c. 118. p. 422. c. 121. p. 436. — 28. cfr. c. 58. p. 202.
[Iustin. Dial. c. 36. p. 122].

19. . . . ὁ ἡμέτερος Χριστὸς ὅτε ἐκ νεκρῶν ἀνέστη καὶ ἀνέβαινεν εἰς τὸν οὐρανόν . . . . ἵνα εἰσέλθῃ οὗτος ὅς ἐστι βασιλεὺς τῆς δόξης, καὶ ἀναβὰς καθίσῃ ἐν δεξιᾷ τοῦ πατρός, ἕως ἂν θῇ τοὺς ἐχθροὺς ὑποπόδιον τῶν ποδῶν αὐτοῦ.
30. cfr. c. 17. p. 62. c. 85. p. 308. c. 106. p. 378. c. 118. p. 422.
[Iustin. Dial. c. 36. p. 126].

---

1) Ll. ex Dialogo Iustini meum in usum collegit vir doctus Bornemann.

20. . . . τὸν σταυρωθέντα τοῦτον . . . ἄνθρωπον γενόμενον σταυρωθῆναι, καὶ ἀναβεβηκέναι εἰς τὸν οὐρανὸν καὶ πάλιν παραγίνεσθαι ἐπὶ τῆς γῆς καὶ προσκυνητὸν εἶναι . .

[Iustin. Dial. c. 38. p. 128].

21. . . . ὅτι οὗτος, ὃν φῂς ἐσταυρῶσθαι καὶ ἀνεληλυθέναι εἰς τὸν οὐρανόν, ἐστὶν ὁ Χριστὸς τοῦ θεοῦ. Ὅτι γὰρ καὶ παθητὸς ὁ Χριστὸς διὰ τῶν γραφῶν κηρύσσεται καὶ μετὰ δόξης πάλιν παραγίνεσθαι καὶ αἰώνιον τὴν βασιλείαν πάντων τῶν ἐθνῶν λήψεσθαι, πάσης βασιλείας αὐτῷ ὑποτασσομένης.

5. cfr. c. 142. p. 498. [Iustin. Dial. c. 39. p. 134].

22. . . . . σωθήσονται σὺν τοῖς ἐπιγνοῦσι τὸν Χριστὸν τοῦτον τοῦ θεοῦ υἱόν, ὃς καὶ πρὸ ἑωσφόρου καὶ σελήνης ἦν, καὶ διὰ τῆς παρθένου ταύτης τῆς ἀπὸ τοῦ γένους τοῦ Δαυῒδ γεννηθῆναι σαρκοποιηθεὶς ὑπέμεινεν, ἵνα διὰ τῆς οἰκονομίας ταύτης ὁ πονηρευσάμενος τὴν ἀρχὴν ὄφις καὶ οἱ ἐξομοιωθέντες αὐτῷ ἄγγελοι καταλυθῶσι, καὶ ὁ θάνατος καταφρονηθῇ καὶ ἐν τῇ δευτέρᾳ αὐτοῦ τοῦ Χριστοῦ παρουσίᾳ ἀπὸ τῶν πιστευόντων αὐτῷ καὶ εὐαρέστως ζώντων παύσηται τέλεον, ὕστερον μηκέτ' ὤν, ὅταν οἱ μὲν εἰς κρίσιν καὶ καταδίκην τοῦ πυρὸς ἀπαύστως κολάζεσθαι πεμφθῶσιν, οἱ δὲ ἐν ἀπαθείᾳ καὶ ἀφθαρσίᾳ καὶ ἀλυπίᾳ καὶ ἀθανασίᾳ συνῶσιν.

10. cfr. c. 100. p. 356. c. 108. p. 386. c. 115. p. 412. c. 116. p. 414. c. 118. p. 422. c. 128. p. 458. [Iustin. Dial. c. 45. p. 150].

23. . . . καὶ πιστεύσωσιν ἐπὶ τοῦτον τὸν σταυρωθέντα Ἰησοῦν, ἐπιγνόντες, ὅτι αὐτός ἐστι ὁ Χριστὸς τοῦ θεοῦ καὶ αὐτῷ δέδοται τὸ κρῖναι πάντας ἁπλῶς καὶ αὐτοῦ ἐστιν ἡ αἰώνιος βασιλεία.

19. cfr. c. 35. p. 122. [Iustin. Dial. c. 46. p. 152].

24. Λοιπὸν οὖν καὶ ὅτι οὗτος διὰ τῆς παρθένου ἄνθρωπος γεννηθῆναι κατὰ τὴν τοῦ πατρὸς αὐτοῦ βούλησιν ὑπέμεινεν ἀπόδειξον καὶ σταυρωθῆναι καὶ ἀποθανεῖν· δῆλον δὲ καὶ ὅτι μετὰ ταῦτα ἀναστὰς ἀνελήλυθεν εἰς τὸν οὐρανὸν ἀπόδειξον.

22. cfr. c. 50. p. 170. c. 61. p. 214. c. 63. p. 220. 222. c. 75. p. 270. c. 84. p. 302. c. 87. p. 314. c. 100. p. 356. c. 127. p. 456. — 24sq. contra AB et omn. edd. coniec. Kaye, Otto: *δῆλον δὲ . . . . οὐρανόν*, eiiciunt in fine *ἀπόδειξον* tamquam in marg. adnotatum.

[Iustin. Dial. c. 63. p. 220].

25. . . . ὅτι ἀπ' ἄκρων τῶν οὐρανῶν προέρχεσθαι ἔμελλεν καὶ πάλιν εἰς τοὺς αὐτοὺς τόπους ἀνιέναι ἐμηνύετο, ἀναμνήσθητε, ἵνα καὶ θεὸν ἄνωθεν προελθόντα καὶ ἄνθρωπον ἐν ἀνθρώποις γενόμενον γνωρίσητε. [Iustin. Dial. c. 64. p. 228].

26. Ὡμολόγησά τε καὶ ὁμολογῶ· ἀλλ' οὐχ ὡς δικαιούμενον αὐτὸν διὰ τούτων ὡμολόγησα ὑπομεμενηκέναι πάντα, ἀλλὰ τὴν οἰκονομίαν ἀπαρτίζοντα, ἣν ἤθελεν ὁ πατὴρ αὐτοῦ καὶ τῶν ὅλων ποιητὴς καὶ κύριος καὶ θεός. Καὶ γὰρ τὸ ἀποθανεῖν σταυρωθέντα ὁμολογῶ ὑπομεῖναι αὐτὸν καὶ τὸ ἄνθρωπον γενέσθαι καὶ τοσαῦτα παθεῖν, ὅσα διέθεσαν αὐτὸν οἱ ἀπὸ τοῦ γένους ὑμῶν.

32. cfr. c. 56. p. 186. c. 108. p. 386. [Iustin. Dial. c. 67. p. 238].

27. Ὡς τῷ θεῷ καὶ πατρὶ τῶν ὅλων ᾄδοντας καὶ ψάλλοντας τοὺς ἀπὸ πάσης τῆς γῆς γνόντας τὸ σωτήριον τοῦτο μυστήριον, τουτέστι τὸ πάθος τοῦ Χριστοῦ, δι' οὗ τούτους ἔσωσεν, ἐνδιάγοντας

36. cfr. c. 115. p. 412. c. 128. p. 458. c. 133. p. 474. — 38. cfr. c. 13. p. 46. c. 41. p. 138. c. 117. p. 418.

κελεύει, ἐπιγνόντας ὅτι καὶ αἰνετὸς καὶ φοβερὸς καὶ ποιητὴς τοῦ τε οὐρανοῦ καὶ τῆς γῆς ὁ τοῦτο τὸ σωτήριον ὑπὲρ τοῦ ἀνθρωπείου γένους ποιήσας, τὸν καὶ μετὰ τὸ σταυρωθῆναι ἀποθνήσκοντα καὶ βασιλεύειν πάσης τῆς γῆς κατηξιωμένον ὑπ' αὐτοῦ. . .

2. cfr. c. 34. p. 116. [Iustin. Dial. c. 74. p. 264].

28. Καὶ νῦν ἡμεῖς, οἱ πιστεύοντες ἐπὶ τὸν σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου Ἰησοῦν κύριον ἡμῶν, τὰ δαιμόνια πάντα καὶ πνεύματα πονηρὰ ἐξορκίζοντες ὑποτασσόμενα ἡμῖν ἔχομεν. Εἰ γὰρ διὰ τῶν προφητῶν παρακεκαλυμμένως κεκήρυκτο παθητὸς γενησόμενος ὁ Χριστὸς καὶ μετὰ ταῦτα πάντων κυριεύσων, ἀλλ' οὖν γε ὑπ' οὐδενὸς νοεῖσθαι ἐδύνατο, μέχρις αὐτὸς ἔπεισε τοὺς ἀποστόλους ἐν ταῖς γραφαῖς ταῦτα κεκηρύχθαι διαῤῥήδην. Ἐβόα γὰρ πρὸ τοῦ σταυρωθῆναι· Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πόλλα παθεῖν καὶ ἀποδοκιμασθῆναι ὑπὸ τῶν γραμματέων καὶ Φαρισαίων καὶ σταυρωθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ Δαυὶδ δὲ πρὸ ἡλίου καὶ σελήνης ἐκ γαστρὸς γεννηθήσεσθαι αὐτὸν κατὰ τὴν τοῦ πατρὸς βουλὴν ἐκήρυξε καὶ θεὸν ἰσχυρὸν καὶ προσκυνητόν, Χριστὸν ὄντα, ἐδήλωσε.

5 sq. cfr. c. 116. p. 414. c. 117. p. 420. c. 131. p. 468. — 13. cfr. c. 41. p. 140. c. 97. p. 348. c. 100. p. 354. 356. c. 107. p. 382. c. 138. p. 486. [Iustin. Dial. c. 76. p. 272].

29 . . . . οὓς φυλάσσεσθαι προεῖπεν ἡμῖν ὁ ἡμέτερος κύριος, ὡς ἐν μηδενὶ ὑστερεῖσθαι ἡμᾶς, ἐπισταμένους, ὅτι προγνώστης ἦν τῶν μετὰ τὴν ἀνάστασιν αὐτοῦ τὴν ἀπὸ τῶν νεκρῶν καὶ ἄνοδον τὴν εἰς οὐρανὸν μελλόντων γίνεσθαι ἡμῖν.

19. cfr. c. 45. p. 150. c. 108. p. 384. 386. — 19 sq. cfr. c. 39. p. 132. c. 87. p. 318. [Iustin. Dial. c. 82. p. 296].

30. Ὁ δὲ ἡμέτερος Ἰησοῦς, οὐδέπω ἐνδόξως ἐλθών, ῥάβδον δυνάμεως εἰς Ἱερουσαλὴμ ἐξαπέστειλε . . . . Καὶ ἰσχυρὸς ὁ λόγος αὐτοῦ πέπεικε πολλοὺς καταλιπεῖν δαιμόνια, καὶ ἐπὶ τὸν παντοκράτορα θεὸν δι' αὐτοῦ πιστεύειν.

23. cfr. c. 34. p. 116. [Iustin. Dial. c. 83. p. 300].

31. . . . . εἰς δὲ μόνον τοῦτον τὸν ἡμέτερον Χριστόν, τὸν ἀειδῆ καὶ ἄτιμον φανέντα . . . ὅς ἐστι κύριος τῶν δυνάμεων διὰ τὸ θέλημα τοῦ δόντος αὐτοῦ πατρός, ὃς καὶ ἀνέστη ἐκ νεκρῶν καὶ ἀνῆλθεν εἰς τὸν οὐρανόν. . . Κατὰ γὰρ τοῦ ὀνόματος αὐτοῦ τούτου τοῦ υἱοῦ τοῦ θεοῦ καὶ πρωτοτόκου πάσης κτίσεως, καὶ διὰ παρθένου γεννηθέντος καὶ παθητοῦ γενομένου ἀνθρώπου, καὶ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου ὑπὸ τοῦ λαοῦ ὑμῶν καὶ ἀποθανόντος καὶ ἀναστάντος ἐκ νεκρῶν καὶ ἀναβάντος εἰς τὸν οὐρανόν, πᾶν δαιμόνιον ἐξορκιζόμενον νικᾶται καὶ ὑποτάσσεται.

29. cfr. c. 23. p. 82. c. 43. p. 142. 146. c. 48. p. 162. c. 57. p. 200. c. 66. p. 234. 236. — 30. cfr. c. 30. p. 102. — 31 sq. cfr. c. 39. p. 132. [Iustin. Dial. c. 85. p. 304].

32. Εἰ οὖν καὶ τὸν ἑαυτοῦ Χριστὸν ὑπὲρ τῶν ἐκ παντὸς γένους ἀνθρώπων ὁ πατὴρ τῶν ὅλων τὰς πάντων κατάρας ἀναδέξασθαι ἐβουλήθη, εἰδὼς ὅτι ἀναστήσει αὐτὸν σταυρωθέντα καὶ ἀποθανόντα, διὰ τί ὡς κεκατηραμένου τοῦ ὑπομείναντος κατὰ τὴν τοῦ πατρὸς βουλὴν ταῦτα [illegible]εῖν τὸν λόγον ποιεῖτε;

36. cfr. c. 103. p. 372. [Iustin. Dial. c. 95. p. 344].

33. Μονογενὴς γὰρ ὅτι ἦν τῷ πατρὶ τῶν ὅλων οὗτος, ἰδίως ἐξ

39. cfr. c. 58. p. 202. c. 61. p. 214. c. 63. p. 222.

αὐτοῦ λόγος καὶ δύναμις γεγεννημένος, καὶ ὕστερον ἄνθρωπος διὰ τῆς παρθένου γενόμενος, ὡς ἀπὸ τῶν ἀπομνημονευμάτων ἐμάθομεν, προεδήλωσα. Καὶ ὅτι σταυρωθεὶς ἀπέθανεν, ὁμοίως προεῖπε.

[Iustin. Dial. c. 105. p. 376].

34. . . ἡμεῖς οἱ διὰ τοῦ Ἰησοῦ ὀνόματος ὡς εἷς ἄνθρωπος πιστεύσαντες εἰς τὸν ποιητὴν τῶν ὅλων θεόν, διὰ τοῦ ὀνόματος τοῦ πρωτοτόκου αὐτοῦ υἱοῦ τὰ ῥυπαρὰ ἱμάτια, τουτέστι τὰς ἁμαρτίας, ἀπημφιεσμένοι, πυρωθέντες διὰ τοῦ λόγου τῆς κλήσεως αὐτοῦ, ἀρχιερατικὸν τὸ ἀληθινὸν γένος ἐσμὲν τοῦ θεοῦ. . .

4 sq. AB et omn. edd. exc. Troll. et Mign. corrupte *πάντες ἔσονται.* Sanavit locum Thirlb. (Otto): *πιστεύσαντες.* Sylb. *πάντες πιστεύοντες.* — 5. cfr. c. 11. p. 40. c 35. p. 118. c. 50. p. 170. c. 55. p. 184. c. 102. p. 364. c. 133. p. 474. — 6. cfr. c. 44. p. 148. c. 95. p. 346. c. 111. p. 396.

[Iustin. Dial. c. 116. p. 416].

35. Τίς δ᾽ ἐστὶν οὗτος, ὃς . . . . Χριστὸς καὶ θεὸς προσκυνητὸς διὰ Δαυΐδ, ... καὶ παθητὸς καὶ Ἰακὼβ καὶ Ἰσραὴλ πάλιν διὰ Ἡσαΐου, καὶ . . . . κέκληται καὶ υἱὸς θεοῦ, εἰ ἐγνώκειτε, ὦ Τρύφων, ἔφην, οὐκ ἂν ἐβλασφημεῖτε εἰς αὐτὸν ἤδη καὶ παραγενόμενον καὶ γεννηθέντα καὶ παθόντα καὶ ἀναβάντα εἰς τὸν οὐρανόν· ὃς καὶ πάλιν παρέσται . . . Ἐπεὶ εἰ νενοήκατε τὰ εἰρημένα ὑπὸ τῶν προφητῶν, οὐκ ἂν ἐξηρνεῖσθε αὐτὸν εἶναι θεόν, τοῦ μόνου καὶ ἀγεννήτου καὶ ἀρρήτου θεοῦ υἱόν. . . [Iustin. Dial. c. 126. p. 450].

36. . . . συναίρεται γὰρ πρὸς τὸ καὶ ἐξ αὐτῆς συνιέναι ὑμᾶς τὸν Ἰησοῦν, ὃν καὶ ἡμεῖς ἐπέγνωμεν Χριστὸν υἱὸν θεοῦ σταυρωθέντα καὶ ἀναστάντα καὶ ἀνεληλυθότα εἰς τοὺς οὐρανοὺς καὶ πάλιν παραγενησόμενον κριτὴν πάντων ἁπλῶς ἀνθρώπων μέχρις αὐτοῦ Ἀδάμ.

18 sq. cfr. c. 51. p. 174. c. 53. p. 180. — 19 sq. cfr. c. 49. p. 170. c. 96. p. 346. c. 118. p. 422. [Iustin. Dial. c. 132. p. 470].

37. . . . ὁ Χριστὸς κατὰ τὴν τοῦ παντοκράτορος πατρὸς δύναμιν δοθεῖσαν αὐτῷ παρεγένετο. . . Ὅθεν οἱ πάντοθεν ἄνθρωποι, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι, πιστεύοντες ἐπὶ τὸν Χριστὸν καὶ ἐγνωκότες τὴν ἐν τοῖς λόγοις αὐτοῦ καὶ τῶν προφητῶν αὐτοῦ ἀλήθειαν, ἐπίστανται ἅμα αὐτῷ ἐν τῇ γῇ ἐκείνῃ γενησόμενοι καὶ τὰ αἰώνια καὶ ἄφθαρτα κληρονομήσειν.

25. cfr. c. 46. p. 156. c. 69. p. 250. c. 80. p. 286. c. 81. p. 296. c. 117. p. 420. [Iustin. Dial. c. 139. p 490].

IGNATIUS.

1. Εἰ οὖν οἱ κατὰ σάρκα ταῦτα πράσσοντες ἀπέθανον, πόσῳ μᾶλλον, ἐάν τις πίστιν θεοῦ ἐν κακῇ διδασκαλίᾳ φθείρῃ, ὑπὲρ ἧς Ἰησοῦς Χριστὸς ἐσταυρώθη.

[Ignat. ad. Ephes. 16, 2; cf. 14, 2. Zahn, *Ignat. v. Antioch.* 1873. p. 590 sq.].

2. . . . πεπληροφορημένους εἰς τὸν κύριον ἡμῶν, ἀληθῶς ὄντα ἐκ γένους Δαβὶδ κατὰ σάρκα υἱὸν θεοῦ κατὰ θέλημα καὶ δύναμιν θεοῦ γεγεννημένον ἀληθῶς ἐκ παρθένου, βεβαπτισμένον ὑπὸ Ἰωάννου,

30 sq. Cf. ad Eph. 18, 2: *ὁ γὰρ θεὸς ἡμῶν Ἰ. ὁ Χρ. ἐκυοφορήθη ὑπὸ Μαρίας κατ᾽ οἰκονομίαν θεοῦ ἐκ σπέρματος μὲν Δαβίδ, πνεύματος δὲ ἁγίου.* 20, 2: *ἐν Ἰ. Χρ. τῷ κατὰ σάρκα ἐκ γένους Δαβίδ, τῷ υἱῷ ἀνθρώπου καὶ υἱῷ θεοῦ.* 7, 2: *εἷς ἰατρός ἐστιν σαρκικός τε καὶ πνευματικός, γεννητὸς καὶ ἀγέννητος, ἐν σαρκὶ γενόμενος θεὸς . . . . καὶ ἐκ Μαρίας καὶ ἐκ θεοῦ, πρῶτον παθητὸς καὶ τότε ἀπαθής, Ἰ. Χρ. ὁ κύριος ἡμῶν.* ad Rom. 7, 3: . . . *Ἰησοῦ Χριστοῦ, τοῦ ἐκ σπέρματος Δαβίδ.*

ἵνα πληρωθῇ πᾶσα δικαιοσύνη ὑπ' αὐτοῦ· ἀληθῶς ἐπὶ Ποντίου Πιλάτου καὶ Ἡρώδου τετράρχου καθηλωμένον ὑπὲρ ἡμῶν ἐν σαρκί — ἀφ' οὗ καρποῦ ἡμεῖς, ἀπὸ τοῦ θεομακαρίτου αὐτοῦ πάθους —, ἵνα ἄρῃ σύσσημον εἰς τοὺς αἰῶνας διὰ τῆς ἀναστάσεως εἰς τοὺς ἁγίους καὶ πιστοὺς αὐτοῦ εἴτε ἐν Ἰουδαίοις, εἴτε ἐν ἔθνεσιν ἐν ἑνὶ σώματι τῆς ἐκκλησίας αὐτοῦ. [Ignat. ad Smyrn. 1].

3. Κωφώθητε οὖν, ὅταν ὑμῖν χωρὶς Ἰησοῦ Χριστοῦ λαλῇ τις, τοῦ ἐκ γένους Δαβίδ, τοῦ ἐκ Μαρίας, ὃς ἀληθῶς ἐγεννήθη, ἔφαγέν τε καὶ ἔπιεν, ἀληθῶς ἐδιώχθη ἐπὶ Ποντίου Πιλάτου, ἀληθῶς ἐσταυρώθη καὶ ἀπέθανεν, βλεπόντων τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ ὑποχθονίων· ὃς καὶ ἀληθῶς ἠγέρθη ἀπὸ νεκρῶν, ἐγείραντος αὐτὸν τοῦ πατρὸς αὐτοῦ· οὗ καὶ κατὰ τὸ ὁμοίωμα ἡμᾶς τοὺς πιστεύοντας αὐτῷ οὕτως ἐγερεῖ ὁ πατὴρ αὐτοῦ ἐν Χριστῷ Ἰησοῦ οὗ χωρὶς τὸ ἀληθινὸν ζῆν οὐκ ἔχομεν. [Ignat. ad Trall. 9].

4. ... ἀλλὰ πεπληροφορῆσθαι ἐν τῇ γεννήσει καὶ τῷ πάθει καὶ τῇ ἀναστάσει τῇ γενομένῃ ἐν καιρῷ τῆς ἡγεμονίας Ποντίου Πιλάτου· πραχθέντα ἀληθῶς καὶ βεβαίως ὑπὸ Ἰησοῦ Χριστοῦ. [Ignat. ad Magn. 11].

---

§ 1. Regula doctrinae ab apostolis tradita.[1])

Rom. 6, 17: *ὑπηκούσατε εἰς ὃν παρεδόθητε τύπον διδαχῆς.* (I Cor. 15, 1 sq.). II Ioann. 9 sq.: *πᾶς ὁ προάγων καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ θεὸν οὐκ ἔχει· ὁ μένων ἐν τῇ διδαχῇ, οὗτος καὶ τὸν υἱὸν ἔχει. εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν.* II Tim. 1, 13. I Tim. 6, 3. 12: *ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν ἐκλήθης καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων.* I Tim. 6, 20. II Tim. 4, 3. I Tim. 4, 6. Iud. 3: *ἡ ἅπαξ παραδοθεῖσα τοῖς ἁγίοις πίστις.* 20: *ἡ ἁγιωτάτη ὑμῶν πίστις.* I Clem. 7, 2: *ὁ εὐκλεὴς καὶ σεμνὸς τῆς παραδόσεως ἡμῶν κανών.* (19, 2: *ὁ ἐξ ἀρχῆς παραδεδομένος ἡμῖν τῆς εἰρήνης σκοπός*). Polyc. ad Philipp. 7, 2: *ὁ ἐξ ἀρχῆς παραδοθεὶς λόγος.* Hegesipp. (?) ap. Euseb. h. e. IV, 8, 2: *ἡ ἀπλανὴς παράδοσις τοῦ ἀποστολικοῦ κηρύγματος;* cf. IV, 22, 4. Polycr. ap. Euseb. h. e. V, 24, 6: *ὁ κανὼν τῆς πίστεως.* Anonym. ap. Euseb. h. e. V, 16, 7: *τὸ κατὰ παράδοσιν καὶ κατὰ διαδοχὴν ἄνωθεν τῆς ἐκκλησίας ἔθος.* Hippol. ap. Euseb. V, 28, 3: *ἡ ἀλήθεια τοῦ κηρύγματος.* Tertull. (add. adv. Marc. I, 20. adv. Valent. 4) Iren. Iustin. Ignat. Memineris Iustini persaepe dicentis: *παρειλήφαμεν, δεδιδάγμεθα, μεμαθήκαμεν.* De regulis Gnosticorum cf. Tertull. de praescr. haer. 42: ‚Mentior, si non etiam a regulis suis variant inter se.' Iren. III, 11, 3: ‚si enim quis regulas (haereticorum) perscrutatur.' I, 21, 5: ‚cum autem (haeretici) discrepent ab invicem et doctrina et traditione'. Tertull. adv. Valent. 1 de Valentinianis: ‚communem fidem adfirmant.' Notum est, Gnosticos imprimis Valentinianos et Basilidianos ad traditionem apostolorum provocasse, e. c. Ptolem. ep. ad Flor. ap. Epiph. h. 33, 7: *ἀξιουμένη τῆς ἀποστολικῆς παραδόσεως, ἣ ἐκ διαδοχῆς καὶ ἡμεῖς παρειλήφαμεν, μετὰ καιροῦ κανονίσαι πάντας τοὺς λόγους τῇ τοῦ σωτῆρος διδασκαλίᾳ.* Ep. Pet. ad Iacob. 1 (Clement. ed. de Lagarde p. 3, 12 sq.): *κατὰ τὸν παραδοθέντα αὐτοῖς κανόνα τὰ τῶν γραφῶν ἀσύμφωνα πειρῶνται μεταρρυθμίζειν.* Regula fidei Apellis

1) Conferas quaeso hic et ad ea quae secuntur testimonia Tertulliani, Irenaei, Iustini, Ignatii, quae supra transscripsi.

discipulorum ab Hippolyto nobis servata est; cf. libell. meum: ‚De Apellis gnosi monarchica‘ [1874] p. 23 sq. p. 31 sq. Cf. Matthiae apost. traditiones. Iren. III, 16, 5: ‚blasphemae regulae‘. Tert. adv. Marc. I, 1: ‚regula Marcionis‘.

§ 2. Fides in deum patrem, filium et spiritum sanctum.

Matth. 28, 19 sq. II Cor. 13, 13. Eph. 4, 4 sq. I Cor. 12, 4 sq. Act. 19, 2 sq. I Clem. 58, 2: *ζῇ γὰρ ὁ θεὸς καὶ ζῇ ὁ κύριος Ἰησοῦς Χριστὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον*. 2, 1 sq. 42, 3. 46, 6. 58, 2. Ignat. ad Eph. 9, 1. Magn. 13, 1. 2. Philad. inscr. Mart. Polyc. 14, 1. 2. Ascens. Ies. 8, 18. 9, 27 sq. 10, 4. 11, 32 sq. Iustin. Athenag. Suppl. 10. 24. Theoph. ad Autol. II, 15. Iren. Tertull. Theoph. ad Autol. II, 15: *τριάς*. Tertull. adv. Valent. 17. adv. Prax. 2 sq.: trinitas. Hipp. c. Noët. 14: *τριάς*. Simoniani: Iren. I, 23, 1. Valentinianorum Aeones *Πατήρ, Μονογενής, Ἐκκλησία, Χριστός, Πνεῦμα Ἅγιον, Ἰησοῦς*: Iren. I, 1 sq.

§ 3. *Πιστεύω εἰς θεὸν πατέρα παντοκράτορα.*

Iren. Tertull. (sed formulam: ‚pater omnipotens‘ non habet). Iustin. (in apologiis *παντοκράτωρ* non invenitur, in dialogo sexies, c. 16. 38. 83. 96. 139. 142; Dial. 139: *εἰς τὸν παντοκράτορα πατέρα*. In syntagm. adv. Marc. ap. Iren. IV, 6, 2: ‚qui omnia continet‘). Apud Ignatium deest *παντοκράτωρ*. Mart. Polyc. 19, 2: *δοξάζει τὸν θεὸν καὶ πατέρα παντοκράτορα*. Mart. Perpet. et Felic. 21: ‚omnipotentem deum patrem‘. Hipp. c. Noët. 8: *πατὴρ θεὸς παντοκράτωρ*. — *παντοκράτωρ* (*θεός*): (V. T.). Apoc Ioann. 1, 8. 4, 8. 11, 17. 15, 3. 16, 7. 14. 19, 6. 15. 21, 22 (in formulis liturgicis). I Clem. inscr. 2, 3. (8, 5). 32, 4. (60, 4). 62. 2. Polyc. ad Philipp. inscr. Herm. Vis. III, 3, 5. Sim. V, 7, 4. Mart. Polyc. 14, 1. Mart. Pionii 8. 9. Montan. ap. Epiph. 48, 11. Deest apud Tatianum et Athenagoram. Cohortat. ad Graec. 38. Theoph. ad Autol. I, 4. II, 3. Ap. Iren. raro, sed ‚qui omnia continet‘ saepius. Mart. Felicit. 3. Mart. Symphoriani 6. Clemens Al. ap. Euseb. h. e. VI, 14, 4. Sibyll. Fragm. I, 8. Lib. I, 66. II, 220. 331. Cf. ad notionem huius vocis Caspari, *Quellen* T. III p. 92 sq. p. 209 sq.

A scriptoribus secundi saeculi deus saepissime *πατὴρ τῶν ὅλων, πατὴρ τῶν πάντων, δημιουργὸς καὶ πατήρ, πατὴρ καὶ κτίστης, θεὸς καὶ πατὴρ τῶν ὅλων, δεσπότης καὶ πατήρ, πατὴρ τῆς ἀληθείας, κύριος (δεσπότης) τῶν πάντων, πατὴρ τοῦ κυρίου Ἰ. Χρ., πατὴρ τοῦ υἱοῦ* nominatur, raro vero absolute *πατὴρ θεός* (II Clem. 14, 1: *ὁ πατὴρ ἡμῶν θεός*. Iustin. Apol. I, 36 p. 71 E). Theophilus (ad Autol. I, 4) nomen *πατήρ* ita explicat: *πατήρ* (scil. *ἐστιν ὁ θεός*) *διὰ τὸ εἶναι αὐτὸν πρὸ τῶν ὅλων;* contra audias II Clem. 1, 4: *ὡς πατὴρ υἱοὺς ἡμᾶς προσηγόρευσεν*, et Tertull. de orat. 2 (supra nr. 21). In epp. Ignatii deus saepe *πατήρ* (*Ἰ. Χρ.*) nominatur, raro in ep. I Clem. (cf. 19, 2. 23, 1. 29, 1. 35, 3) et in libro Hermae (sola ecclesia et filius dei deum *πατέρα* vocant, cf. Vis. III, 9, 10. Sim. V, 6, 3. 4. IX, 12, 2), saepius in ep. II Clem. (cf. [1, 4]. 3, 1 sq. 8, 4. 10, 1. 14, 1. 20, 5) et in Barn. ep. (cf. 12, 8: *ὁ πατὴρ πάντα φανεροῖ περὶ τοῦ υἱοῦ*. 14, 6: *ὁ πατήρ* absolute). Etiam Gnostici deum *πατέρα* appellaverunt; e. c. Ptolem. ep. ad Flor. ap. Epiph. h. 33, 3. Ptolem. ap. Iren. I, 1 sq. Apelles ap. Hippol., Philosoph. VII, 38: *ὁ ἀγαθὸς πατήρ*. etc.

Iam in veterrimis formulis sollemnibus *unitas* dei expressa est; cf. N. T. e. c. I Cor. 8, 6. Iud. 4. I Tim. 6, 15 etc. I Clem. 46, 6. II Clem. 20, 5. Ign. ad Magn. 7, 2. 8, 2. Herm. Mand. I, 1: *πρῶτον πάντων πίστευσον ὅτι εἷς ἐστὶν ὁ θεός*. Praed. Petr. ap. Clem. Alex. Strom. VI, 5 p. 759. Iustin. (e. c. in syntagm. adv. Marc. ap. Iren. IV, 6, 2: ‚ab *uno* deo, qui et hunc mundum fecit etc.‘).

Apologett. Iren. Tertull. Presbyt. Noët. damnantes (Hipp. c. Noët. 1). Iidem etiam unitatem Christi in formulis contra Gnosticos confitentur. Sed etiam nonnulli e Gnosticorum scholis unitatem dei agnoverunt; cf. Apellis verba ab Hippolyto servata (Pseudotertull. Epiph. haer. 44, 1. Philastr. haer. 47): *εἷς ἐστιν ἀγαθὸς θεὸς καὶ μία ἀρχὴ καὶ μία δύναμις ἀκατονόμαστος* (Cf. libellum meum ‚De Apellis gnosi monarchica' p. 23 sq. p. 55 sq.) et a Rhodone (ap. Euseb. h. e. V, 13, 6) tradita: *ἔλεγε* (scil. *Ἀπελλῆς*) *μὲν γὰρ μίαν ἀρχήν, καθὼς καὶ ὁ ἡμέτερος λόγος.* Ptolem. in ep. ad Flor. ap. Epiph. 33, 7: *εἷς γάρ ἐστιν ἀγέννητος ὁ πατήρ, ἐξ οὗ τὰ πάντα ἰδίως, τῶν πάντων ἠρτημένων ἀπ' αὐτοῦ.* Hom. Clem. Cf. Caspari, T. III p. 143 sq. — Non solum a Iustino, Apologetis (Caspari, l. c. p. 147 n. 235), Irenaeo, Tertulliano deus *ποιητὴς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ποιητὴς* (*κτίστης*) *τ. ὅλων, δημιουργὸς τῶν πάντων, ὁ τὰ πάντα ποιήσας* (*διατάξας*), *ὁ πεποιηκὼς τὸν οὐρανὸν καὶ τὴν γῆν* (*καὶ τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐτοῖς*) nominatur, sed iam in veterrimis formulis haec additamenta reperiuntur; quorum tria genera discerni possunt: 1) *ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν* (Iren. saepius, cf. supra et II, 1, 1. III, 10, 6. III, 12, 6. IV, 24, 1. Iust. Dial. 74. Melito, Fragm. XVI [Otto, T. IX p. 423]). 2) *ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐτοῖς* (Iren. Mart. Pion. 8. 9. 16. 19: ‚deum omnipotentem, qui fecit coelum et terram et mare et omnia quae in eis sunt.' Act. 14, 15. Apoc. Ioann. saepius, e. c. 10, 6, 14, 7). 3) *ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας* (Herm. Mand. I, 1. Iren. I, 22, 1: ‚qui omnia condidit . . . et aptavit.' Iustin. Dial. 102: *ὁ πάντα ποιήσας*) vel *ὁ ποιητὴς τ. ὅλων* (saepissime) vel ‚creator universalitatis' (Tert. Iren.) vel ‚qui omnia condidit' (Tert.) vel ‚condidit per verbum' (Herm. Vis. I, 3, 4: *ὁ ἀοράτῳ δυνάμει καὶ κραταιᾷ καὶ τῇ μεγάλῃ συνέσει αὐτοῦ κτίσας τὸν κόσμον κτλ.* Praedic. Petri ap. Clem. Alex. Strom. VI, 5 p. 759: *ὃς τὰ πάντα ἐποίησεν λόγῳ δυνάμεως αὐτοῦ . . . τουτέστι τοῦ υἱοῦ.* Apologett. Iren. I, 22, 1 etc.) vel fusius: ‚condidit omnia, visibilia et invisibilia, sensibilia et intelligibilia etc. etc.' (Apologett. Iren. Tertull.). Cf. Caspari, l. c. p. 146 sq.

Iam Hermas formulae Mand. I, 1 addidit: *καὶ ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα* (cf. adnot. ad h. l.); cf. Vis. I, 1, 6. II Clem. 1, 8. Iustin. Apol. I, 10. Tatian. 5. 12. Theoph. ad Autol. I. 4 fin. II, 4. 10. Iren. I, 22, 1. V, 3, 2. Tertull. (saepius). Hippol. in Gen. 1 (de Lag. nr. 16 p. 124). Clem. Hom. III, 32 (de Lag. p. 45, 7). Basilidiani ap. Hippol. (Philos. VII, 21 p. 358, 6).

Ibidem (Mand. I, 1) Hermas addidit: *καὶ πάντα χωρῶν, μόνος δὲ ἀχώρητος ὤν.* Similia eademque fusius exposita sunt haud rara: cf. Apologett. Iren. Tert. (*ἀγέννητος, ἀκατονόμαστος, ἀχώρητος, ἀκατάληπτος, ἀόρατος, ἄφθαρτος κτλ.*); cf. Praed. Pet. ap. Clem. Alex. Strom. VI, 5 p. 759.

§ 4. *καὶ εἰς Χριστὸν Ἰησοῦν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν κύριον ἡμῶν,*

Χριστὸς Ἰησοῦς: saepius vox *Χριστός* alteram excipit; sed cf. N. T. (I Tim. 6, 13). I Clem. 32, 4. 38, 1. Ign. ad Eph. 1, 1. 11, 1. Magn. inscr. 8, 1. 9, 3. Rom. 1, 1. 2, 2. Philad. 10, 1. 11, 2. Smyrn. 8, 2. Trall. 9, 2. Iust. Dial. 35. Iren. saepius; cf. quae supra transscripsi et add. IV, 6, 3. IV, 8, 1. IV, 21, 1 etc. Tertull. de praescr. 36. Caspari, l. c. T. III p. 67 sq. n. 120—122. p. 58—70.

Cognomina ‚*υἱὸς θεοῦ*' ‚*ὁ κύριος* (*ἡμῶν*)' ab omnibus innumerabilibus

locis repetuntur et coniunguntur. In nonnulis formulis ecclesiasticis Christus παῖς θεοῦ nominatur, cf. quae Barn. 6, 1 collegi et transscripsi, quibus add. I Clem. 59, 2 sq.

Vox μονογενής ante Irenaei tempus perraro invenitur; apud Irenaeum vero et Tertull. saepissime, cf. quae supra transscripsi, quibus addas Iren. III, 16, 6. 7. 9. III, 17, 4. III, 19, 2. V, 17, 2 etc. Deest in N. T. (excepto Ioanne), in scriptis patrum qui dicuntur apostolicorum (Ign. ad Rom. inscr.: μόνος υἱός), in apologiis et dialogo Iustini (Apol. I, 23: Ἰ. Χρ. μόνος ἰδίως υἱὸς τῷ θεῷ γεγέννηται. Apol. II, 6: ὁ μόνος λεγόμενος κυρίως υἱός; similia haud ita raro. Dial. 105: vox μονογενής e psalmo et ev. Ioann. repetita est), in libris Apologetarum etc. Repperi hanc vocem ev. Ioann. 1, 14. 1, 18 (μονογενὴς θεός). 3, 16: ὁ υἱὸς ὁ μονογενής. 18: ὁ μονογενὴς υἱός. I Ioann. 4, 9: τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ. Mart. Polyc. 20, 2: διὰ παιδὸς αὐτοῦ τοῦ μονογενοῦς Ἰησοῦ Χριστοῦ. Testam. Beniam. 9: ἐν ἐπισκοπῇ μονογενοῦς. Iustin. synt. adv. Marc. ap. Iren. IV, 6, 2: ‚ab uno deo, qui et hunc mundum fecit et nos plasmavit et omnia continet et administrat, unigenitus filius venit ad nos' (Inde elucet, quanta prudentia in investigandis symboli vestigiis uti necesse sit, cum vox μονογενής in scriptis Iustini, quae nunc exstant, excepto uno loco desideretur). Denique memineris Valentinianorum aeonis Μονογενοῦς (Iren. I, 1 sq.). Nullus dubito, quin scripta Ioannis auctoribus symbolorum voces (εἰς) τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ suppeditaverint. Ll. Lc. 7, 12. 8, 42. 9, 38. Hebr. 11, 17. I Clem. 25, 2 (de phoenice) respicienda non sunt.

In nonnullis formulis sollemnibus nomini Christo addita sunt verba: τὸν πρωτότοκον (Rom. 8, 29. Coloss. 1, 15. 18. Apoc. 1, 5. Hebr. 1, 6); cf. Iust. Apol. I, 23. 33. 46. 53. Dial. 84. 85. 110. 116. 138.

§ 5. τὸν γεννηθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου,

πνεύματος ἁγίου: Tertull. Ignat. ad Eph. 18, 2. (Fortasse in veterrimis symboli formulis nil nisi γεννηθέντα ἐκ [Μαρίας τῆς] παρθένου vel διὰ παρθένου exstabat). Sed additamenta, ut κατ' οἰκονομίαν θεοῦ, διὰ δυνάμεως τοῦ λόγου, κατὰ θέλημα θεοῦ, κατὰ δύναμιν θεοῦ etc., perantiqua et haud ita rara, cf. Iren. Ignat. (ad Eph. 7, 2: ἐκ Μαρίας καὶ ἐκ θεοῦ). Iustin. Dial. 61: τὸν ἀπὸ τοῦ πατρὸς γεννηθέντα. 105: τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα. 23. 63. 75. 76. 87. 127. Audias Barnabam (c. 12, 10): ἴδε πάλιν Ἰησοῦς οὐχὶ υἱὸς ἀνθρώπου ἀλλὰ υἱὸς τοῦ θεοῦ.

ἐκ Μαρίας: Praep. ‚ex' usitatissima est; cf. Tertull. Iren. Iustin. Ignat. Pseudoiust. de resurr. 2; sed saepius apud Iustinum ‚διά' invenitur; cf. Apol. I, 22. 31. 32. 33. 54. 63. Dial. 23. 43. 45. 48. 50. 57. 63. 66. 75. 85. 87. 100. 105. 120. 127. ‚ἀπό': Dial. 43. 66. Valentiniani praep. ‚διά' utebantur, quos Iren. (e. c. I, 7, 2) et Tertullianus (cf. de carne Chr. 20; sed Tertull. uti praepos. ‚ex' defenderet, non ad symbolum, sed ad S. S. provocavit) acerbe corripiunt. Ignat. ad Eph. 18, 2: ὑπὸ Μαρίας ἐκυοφορήθη. Iustin. Dial. 66 init.: ὅτι ἐκ παρθένου γεννητὸς καὶ διὰ παρθένου γεννηθῆναι αὐτὸν διὰ Ἠσαΐου ἐπεπροφήτευτο.

Μαρίας: Tertull. Ignat. Deest ap. Iren. et Iustin. (excepto uno loco, dial. 120: κατὰ οἰκονομίαν τὴν διὰ τῆς παρθένου Μαρίας).

τῆς παρθένου: Tertull. Iren. Iustin. Ignat. Valentiniani et multi ex Gnosticis. Hegesipp. ap. Euseb. h. e. III, 20, 1 et al. ll. Iustinus de Iudao-Christianis verba faciens doctrinam de partu salvatoris non tangit.

Overbeckio, eos errasse, qui alia praeter illa saec. II vel III certa vestigia in epistula indagasse sibi videntur. hoc vero asseverari potest, christologiam epistulae saec. II vel III speciem magis prae se ferre quam saec. posteriorum, et admodum miror, Overbeckium p. 68 dixisse: *so auffällig sie (die Christologie) im zweiten Jahrhundert wäre;* nihil enim, quod offendere possit theologiae sec. saeculi peritum, in ep. repperi. Ceterum cf. Gass, *Ztschr. f. w. Theol.* 1874 IV p. 475.

9. Overbeckius hoc quidem certis argumentis probavit, auctorem epistulae minime inter secundi vel tertii saeculi *apologetas* numerari posse, at vero vix sobrio persuaserit, fieri non posse, quin epistula post saeculum tertium scripta sit.

10. Quae Overbeckius p. 58—68 attulit, minime sufficiunt; etiam hoc non intellego, cur Ethnicus, qui rei Christianae veritati explorandae incubuerit, talia non quaerere potuerit, quae c. 1 — sane disposita ab ipso auctore — legimus (contra Overbeckium l. c. p. 71 sq.).

11. Recte Lipsius (LCB. 1873 N. 40 p. 1251): *Die Ansicht des Briefs vom Judenthum ist auch bei einem späteren Verfasser nicht unterzubringen.*

12. Hilgenfeldium, Lipsium, Gassium, Keimium dico.

13. Postremi Snoeckius (l. c.) et Nitzschius (*Grundriss d. christl. Dogmengesch.* 1870 p. 108 sq., cf. Luthardt, *D. joh. Ursprung u. s. w.* 1874 p. 67 sq.) asseveraverunt, epistulam ante an. 150 scriptam esse. Immo vero: usque ad an. 1872 fere omnes critici hanc sententiam defenderunt. Maxime vero meriti sunt et Overbeckius et adversarii eius, quod opinionem istam irritam esse certis probaverunt argumentis. Overbeckius p. 68 iure dicit, christologiam in epistula prolatam excultiorem esse ea quam Iustinus vindicavit christologiae specie.

14. Hilgenfeldius (*Zeitschr. f. wiss. Theol.* 1872 II p. 285) ann. 161—180, Lipsius (l. c.) an. c. 180, Gassius (l. c.) alterum saec. sec. dimidium, Keimius (*Protest. KZ.* 1873 N. 13. 14. *Celsus* 1873 p. 272 sq.) an. 176—180 respici vult. Keimii argumentatio in c. 7, 4 innititur (cf. *Gesch. Jesu.* edit. II [III. *Bearbeitg.*] 1875 p. 375 sq. Overbeck, l. c. p. 83 sq. Lipsius, l. c.).

confecta sit, firmis argumentis diiudicari nequit. Priorem sententiam ut commendaret, Lipsius rationes haud viles, licet vix certas proposuit[15]; Zahnius posteriorem sententiam vindicavit[16]; equidem vero confiteor, me ea in re nihil exploratum habere, nisi hoc unum, epistulam ad Diognetum scriptam esse inter annos 170—310[17] a viro quodam, cui controversiae gnosticae usui fuerunt ad rem Christianam recte definiendam atque adornandam, quem, si audeas, quasi Marcionem catholicum nuncupare possis[18] vel certe talem, qui verissimas Tatiani cogitationes cum nonnullis Alexandrinorum placitis eleganter coniunxit.[19] Loci, ubi epistula scripta sit, vestigia adeo desunt, ut ne coniectura quidem divinari possit.

Capp. 11 et 12 non ad hanc epistulam pertinent, sed homiliae alicuius partem continere videntur. Unde desumpta sint, nescimus. Quid sibi velint verba illa ‚ἀποστόλων γενόμενος μαθητής' non intellego. Procul dubio fragmentum post saec. II exitum scriptum est, fortasse tempore multo posteriore; cf. 11, 6. Zahnius (*Gött. Gel. Anz. 1878. 2. St. p. 62*) 11, 4 cum Herm. Sim. IX, 12, 1 sq. contulit.

15. Lipsius, l. c. p. 1251 ll. exhibuit, ubi convenit epistulae cum Tertulliani Apologetico: c. 2 cum Apol. 12. c. 5. cum Apol. 1 (ad nat. I, 1). c. 3 cum Apol. 21. c. 8 cum Apol. 46. c. 7 eum Apol. 21. c. 6—7 cum Apol. 50. c. 10 cum Apol. 39. c. 5 cum Apol. 37. c. 1 cum Apol. 37. c. 5 cum Apol. 32; quibus allatis pergit: *Referent zweifelt nicht, dass das Original nicht bei dem Plagiator Tertullian, sondern nur in dem Briefe an Diognet gefunden werden kann, womit sich die Abfassung des Letzteren zu Ende des II. Jahrhunderts von selbst ergiebt.* At non sufficiunt illa, neque certum est, alterum alterum transscripsisse; cf. Overbeck, l. c. p. 84 sq.

16. Zahn, *Gött. Gelehrt. Anz.* 1873. Nr. 3. Zahnius opinatur, epistulam inter ann. 250—310 scriptam esse; Overbeckius l. c. p. 89 addit: *(Zahn's) Ansicht möchte ich im Allgemeinen gar nicht unbedingt als unmöglich abweisen.*

17. Cf. Lardner, *Glaubwürdigkeit d. ev. Gesch.* II, I p. 205.

18. Similia iam protulerunt Bunsenus, Hilgenfeldius, Lipsius. *So gut wie Markion (den Weissagungsbeweis verschmäht hat), so gut konnte das auch ein Katholiker aus dem Ende des zweiten Jahrhunderts, der sich bei aller Zurückweisung der markionitischen Häresie doch in der religiösen Werthschätzung der christlichen Offenbarung mit ihr wieder berührte* (Lips. l. c. p. 1250).

19. Admodum miror, Overbeckium fere nusquam Tatiani Orationem ad Graecos et Clementis Alex. Protrepticon cum ep. ad Diogn. contulisse, cum nulla supersint scripta, quae maiore cum fructu hic in examen vocentur (cf. e. c. Protrept. V, 64—66 Dind. cum Diogn. 8; Protrept. vv. ll. cum Diogn. 2). Bene vero scio, iudicium in textu prolatum multis offensioni futurum esse.

1825 *Tübinger Theolog. Quartalschrift* p. 444 sq.: *Ueber den Brief an Diognetos.* Cf. Moehler, *Gesammelte Schriften* T. I [1839] p. 19 sq. *Patrologie* [1840] p. 164 sq.
1828 (a Grossheim, De ep. ad Diognet., quae fertur Iust. Mart., commentatio.)
1832 Credner, *Beiträge u. s. w* T. I p. 50.
1840 Semisch, *Justin d. Märt.* I p. 172 sq. Cf. „*Diognet*" in: Herzog, RE. III p. 407 sq.
1842 Otto, *Beziehungen auf paul. Briefe bei .... dem Verf. d. Briefs an Diognet. Zeitschr. f. d. hist. Theol.* II p. 41 sq. cf. l. c. 1841 II p. 80 sq. 1843 I p. 43 sq.
1845 Dorner, *Entwickelungsgesch. d. L. v. d. Person Chr.* T. I p. 409 sq.
Otto, De ep. ad Diognet. S. Just. Phil. et Mart. nomen prae se ferente. (edit. secunda) 1852.
1846 Hefele, *Tüb. Theol. Quartalschr.* III p. 460 sq.
1852 Bunsen, *Hippolyt u. s. Zeit.* T. I p. 138 sq.
1853 Hilgenfeld, *Die Apostolischen VV.* p. 1. p. 9 sq.
Hollenberg, *Der Brief an Diognet. Berlin.*
1854 Zeller, *Apostelgesch.* p. 50 sq.
(Nolte in: Scheiner, *Zeitsch. f. kath. Theol.*)
1856 Kayser, *La lettre à Diognète. Rev. de Théologie.* p. 265 sq.
1857 Lechler, *Apost. u. Nachapost. Ztalter.* edit. II p. 493 sq.
1860 Credner, *Gesch. d. NTlichen Kanon.* p. 58 sq.
Fr. Baudouin, *L'épitre à Diognète. Thèse, Strasbourg.*
Stelkens, *Ueber d. Brief an Diognet. Prgr. Recklinghausen.*
1861 Snoeck, Specimen theol. exhibens introductionem in ep. ad Diognet. Lugd. Bat.
1862 Scheibe, *Theol. Studd. u. Krit.* p. 576 sq.
1863 Baur, *D. Christenth. u. die Kirche der 3 ersten Jahrh.* edit. III p. 373.
1865 Baur, *Vorlesungen üb. die Dogmengesch.* T. I P. I p. 255.
1866 Tischendorf, *Wann wurden uns. Evv. u. s. w.* edit. IV p. 40.
(Donaldson, *A critic. history of christ. literature and doctrine.* Vol. II p. 126 sq.)
Riggenbach, *D. Zeugnisse f. d. Ev. Joh.* p. 139 sq.
Alzog, *Grundriss d. Patrologie* (edit. II 1869 p. 45 sq.)
1867 Scholten, *D. ältesten Zeugnisse u. s. w.* p. 101.
1868 Davidson, *An introduct. to the N. T.* Vol. II p. 270. 399. Vol. I p. 101.
Ewald, *Gesch. des Volkes Israel.* edit. II T. VII p. 250 sq.
1870 Nitzsch, *Dogmengesch.* p. 108 sq.
1872 *Protest. Kirchenzeitung* N. 15.
Overbeck, *Ueber d. pseudojust. Brief an Diognet. Prgr.*
1873 Hilgenfeld, *D. Brief an Diognetos. Ztschr. f. w. Th.* II p. 270 sq.
Lipsius, *Lit. Central-Blatt* N. 40.
Keim, *Protest. Kirchenzeitung.* N. 13. 14.
Keim, *Celsus Wahres Wort* p. 272 sq.
Zahn, *Götting. Gelehrt. Anzeig.* N. 3.
1874 Gass, *Zeitschr. f. w. Theol.* IV p. 474 sq.
The Academy 15. Jan. Nr. 64 [Overbeck].
Supernatural Religion. Vol. II p. 37 sq. p. 354 sq.
Luthardt, *D. joh. Urspr. d. vierten Ev.'s.* p. 67 sq.
Reuss, *Gesch. d. h. Schriften N. T's.* edit. V T. II p. 16.

1875 Overbeck. *Studien z. Gesch. d. alten Kirche. Heft I* (*Ueber den pseudo-just. Brief an Diognet.* p. 1 sq. edit. altera auctior).
Keim, *Geschichte Jesu.* edit. II (*3te Bearbeitung*) p. 375 sq.

1877 *Iustin Martyr's Epistle to Diognetus and the Oration to the Gentiles* (*Church Quarterly Review Apr.*).
Hort, *The Epistle to Diogn. Letter* (*Acad. 12. May*).

§ 3.

[ΙΟΥΣΤΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ] ΠΡΟΣ ΔΙΟΓΝΗΤΟΝ.

I. Ἐπειδὴ ὁρῶ, κράτιστε Διόγνητε, ὑπερεσπουδακότα σε τὴν θεοσέβειαν τῶν Χριστιανῶν μαθεῖν καὶ πάνυ σαφῶς καὶ ἐπιμελῶς πυνθανόμενον περὶ αὐτῶν, τίνι τε θεῷ πεποιθότες καὶ πῶς θρησκεύοντες αὐτὸν [τόν] τε κόσμον ὑπερορῶσι πάντες καὶ θανάτου καταφρονοῦσι, καὶ οὔτε τοὺς νομιζομένους ὑπὸ τῶν Ἑλλήνων θεοὺς λογίζονται οὔτε τὴν Ἰουδαίων δεισιδαιμονίαν φυλάσσουσι, καὶ τίνα τὴν φιλοστοργίαν ἔχουσι πρὸς ἀλλήλους, καὶ τί δήποτε καινὸν τοῦτο γένος ἢ ἐπιτήδευμα εἰσῆλθεν εἰς τὸν βίον νῦν καὶ οὐ πρότερον· ἀποδέχομαί γε τῆς προθυμίας σε ταύτης καὶ παρὰ τοῦ θεοῦ, τοῦ καὶ τὸ λέγειν καὶ τὸ ἀκούειν ἡμῖν χορηγοῦντος, αἰτοῦμαι δοθῆναι ἐμοὶ μὲν εἰπεῖν οὕτως ὡς μάλιστα ἂν ἀκούσαντά σε βελτίω γενέσθαι, σοί τε οὕτως ἀκοῦσαι ὡς μὴ λυπηθῆναι τὸν εἰπόντα.

II. Ἄγε δὴ καθάρας σεαυτὸν ἀπὸ πάντων τῶν προκατεχόντων σου τὴν διάνοιαν λογισμῶν, καὶ τὴν ἀπατῶσάν σε συνήθειαν ἀποσκευασάμενος, καὶ γενόμενος ὥσπερ ἐξ ἀρχῆς καινὸς ἄνθρωπος, ὡς ἂν καὶ λόγου καινοῦ, καθάπερ καὶ αὐτὸς ὡμολόγησας, ἀκροατὴς ἐσόμενος· ἴδε μὴ μόνον τοῖς ὀφθαλμοῖς ἀλλὰ καὶ τῇ φρονήσει τίνος ὑποστάσεως ἢ τίνος εἴδους τυγχάνουσιν οὓς ἐρεῖτε καὶ νομίζετε θεούς.

* *Τοῦ αὐτοῦ πρὸς διόγνητον* cod (vide supra p. 143) | 1. *ὑπερεσπουδακότα*: praem *ὡς* Br^{ms}, non it. St$_{ms}$. Concessit quidem St, vocula *ὡς* in Beureri apographo conspecta, factum esse posse ut et ipse eam legisset atque ut inutilem omisisset; non autem dixit se eius meminisse. Sumendum igitur, ni fallor, illud *ὡς* inde ortum esse quod Br, scriptura codicis non satis accurate perspecta, lineolam quampiam vel priorem litterae *υ* partem, longe illam, ut saepius fit, productam, male pro compendio habuerit quo *ὡς* in codicibus minusculis qui dicuntur exprimi solet. | 4. *αὐτὸν τόν τε* em Ln (Sch): om *τὸν* cod, coniecit *αὐτόν τε τὸν* St | 6. *τὴν* sec: *τὶν* cod^{cz} | 9. *γε*: maluerunt *τε* Bn Sch | 11. *ἀκούσαντα* em St: *ἀκοῦσαι* cod, coniecit *τὸν ἀκούσαντα* (om *ἂν* et *σε*) Otto | *τε*: coniecerunt *δὲ* St al; sed ‚apud classicos quoque scriptores *μὲν* particulam excipit *τε* coniunctiva' (Otto) | 16. *καθάπερ* scriptum super *ὡς* in St^{ms} | 18. *ἐρεῖτε*: coniecit *αἱρεῖτε* Sg, *αἰνεῖτε* Ln; sed cf Steph. Thes. s. v. *ἐρέω* (‚etenim praesentis instar utuntnr recentiores' Otto, qui voc. *καλεῖτε* v. 5. contulit)

2. οὐχ ὁ μέν τις λίθος ἐστὶν ὅμοιος τῷ πατουμένῳ, ὁ δ' ἐστὶ χαλκὸς οὐ κρείσσων τῶν εἰς τὴν χρῆσιν ἡμῖν κεχαλκευμένων σκευῶν, ὁ δὲ ξύλον ἤδη καὶ σεσηπός, ὁ δὲ ἄργυρος χρήζων ἀνθρώπου τοῦ φυλάξαντος ἵνα μὴ κλαπῇ, ὁ δὲ σίδηρος ὑπὸ ἰοῦ διεφθαρμένος, ὁ δὲ ὄστρακον, οὐδὲν τοῦ κατεσκευασμένου πρὸς τὴν ἀτιμοτάτην ὑπηρεσίαν εὐπρεπέστερον; 3. οὐ φθαρτῆς ὕλης ταῦτα πάντα; οὐχ ὑπὸ σιδήρου καὶ πυρὸς κεχαλκευμένα; οὐχ ὃ μὲν αὐτῶν λιθοξόος ὃ δὲ χαλκεὺς ὃ δὲ ἀργυροκόπος ὃ δὲ κεραμεὺς ἔπλασεν; οὐ πρὶν ἢ ταῖς τέχναις τούτων εἰς τὴν μορφὴν τούτων ἐκτυπωθῆναι ἦν ἕκαστον αὐτῶν ἑκάστῳ εἰκάζειν μεταμεμορφωμένον; οὐ τὰ νῦν ἐκ τῆς αὐτῆς ὕλης ὄντα σκεύη γένοιτ' ἄν, εἰ τύχοι τῶν αὐτῶν τεχνιτῶν, ὅμοια τοιούτοις; 4. οὐ ταῦτα πάλιν τὰ νῦν ὑφ' ὑμῶν προσκυνούμενα δύναιτ' ἂν ὑπὸ ἀνθρώπων σκεύη ὅμοια γενέσθαι τοῖς λοιποῖς; οὐ κωφὰ πάντα, οὐ τυφλά, οὐκ ἄψυχα, οὐκ ἀναίσθητα, οὐκ ἀκίνητα; οὐ πάντα σηπόμενα, οὐ πάντα φθειρόμενα; 5. ταῦτα θεοὺς καλεῖτε, τούτοις δουλεύετε, τούτοις προσκυνεῖτε· τέλεον δ' αὐτοῖς ἐξομοιοῦσθε. 6. διὰ τοῦτο μισεῖτε Χριστιανούς, ὅτι τούτους οὐχ ἡγοῦνται θεούς. 7. ὑμεῖς γὰρ αἰνεῖν νομίζοντες καὶ οἰόμενοι, οὐ πολὺ πλέον αὐτῶν καταφρονεῖτε; οὐ πολὺ μᾶλλον αὐτοὺς χλευάζετε καὶ ὑβρίζετε, τοὺς μὲν λιθίνους καὶ ὀστρακίνους σέβοντες ἀφυλάκτους, τοὺς δὲ ἀργυρέους καὶ χρυσοῦς ἐγκλείοντες ταῖς νυξί, καὶ ταῖς ἡμέραις φύλακας παρακαθιστάντες, ἵνα μὴ κλαπῶσιν; 8. αἷς δὲ δοκεῖτε τιμαῖς προσφέρειν, εἰ μὲν αἰσθάνονται κολάζετε μᾶλλον αὐτούς, εἰ δὲ ἀναισθητοῦσιν ἐλέγχοντες αἵματι καὶ κνίσαις αὐτοὺς θρησκεύετε. 9. ταῦθ' ὑμῶν τις ὑπομεινάτω, ταῦτα ἀνασχέσθω τις ἑαυτῷ γενέσθαι. ἀλλὰ ἄνθρωπος μὲν οὐδὲ εἷς ταύτης τῆς κολάσεως ἑκὼν ἀνέξεται, αἴσθησιν γὰρ ἔχει καὶ λογισμόν· ὁ δὲ λίθος ἀνέχεται, ἀναισθητεῖ γάρ. οὐκοῦν τὴν αἴσθησιν αὐτοῦ ἐλέγχετε. 10. περὶ μὲν οὖν τοῦ μὴ δεδουλῶσθαι Χριστιανοὺς τοιούτοις θεοῖς

1. *ὁ δ' ἐστὶ*: ‚fort. levissima mutatione, quum *ὁ μέν τις* praecedat, scripseris *ὁ δέ τις*' Otto | 3 sq. *φυλάξαντος*: fort. *φυλάξοντος* (St al) | 9. *τούτων* sec: maluit *ταύτην* Bl | *ἕκαστον* em Mr: *ἕκαστος* cod | 10. *εἰκάζειν* em Ln: *ἔτι καὶ νῦν* cod, coniecit *ὡς ἔτι καὶ νῦν* Nolte (ap. Hef) | 11. *τοιούτοις*: coniecit *τούτοις* St | *ταῦτα*: *ταὐτὰ* scribi vult Sch | 12. *ὑμῶν* em St (tacite): *ἡμῶν* cod[cz] et St[ms] (eti Br[ms]?) | 15. *τούτοις* sec. corr. ex *τούτους* St[ms] | 16. *τέλεον δ' αὐτοῖς ἐξομ.* cod[cz] (‚ita quidem ut verba *δ' αὐτοῖς*, licet alia manu sint renovata, primitivam tamen lectionem contineant'): *τέλεόν τε* (*ε* scripto supra *τ*) *α . . . οι ἐξομ.* St[ms] (*τέλεόν τε . . . ἐξομ.* St[ed]), *τέλεον δὲ* (corr. ex *τε* alia manu) *αὐτοῖς ἐξομ.* Br[ms]. Vix haec sana sunt, neque sanantur coniectura Bunsenii *ἐξομοιοῦτε* | 17. *αἰνεῖν* em Ln: *οἱ νῦν* cod | 18. *οἰόμενοι*: coniecit *σεβόμενοι* Ln | 20. *ἀφυλάκτους* c. St[ms] (ex emendatione?): *ἀφυλάκτως* cod[cz] et Br[ms] | 21. *παρακαθιστάντες* em Kr: *παρακαθίσαντες* cod | 27. *ἀνέχεται* (ita et St[ed]): *ανε . . .* St[ms] (in mg *ἀνέχεται*) | *αἴσθησιν αὐτοῦ* c. cod[cz] et Br[ms]: *αἴσθησιν α . . . .* St[ms] (in mg *ἀναισθησίαν αὐτῶν*), coniecit *αἴσθησιν οὐκ ἔχειν* St ([ed], ubi *α[ὐτοῦ]* post *αἴσθ.* om), *αἴσθησιν αὐτῶν* Le

πολλὰ μὲν [ἂν] καὶ ἄλλα εἰπεῖν ἔχοιμι· εἰ δέ τινι μὴ δοκοίη κἂν ταῦτα ἱκανά, περισσὸν ἡγοῦμαι καὶ τὸ πλείω λέγειν.

III. Ἑξῆς δὲ περὶ τοῦ μὴ κατὰ τὰ αὐτὰ Ἰουδαίοις θεοσεβεῖν αὐτοὺς οἶμαί σε μάλιστα ποθεῖν ἀκοῦσαι. 2. Ἰουδαῖοι τοίνυν εἰ μὲν ἀπέχονται ταύτης τῆς προειρημένης λατρείας, καλῶς θεὸν ἕνα τῶν πάντων σέβειν καὶ δεσπότην ἀξιοῦσι φρονεῖν· εἰ δὲ τοῖς προειρημένοις ὁμοιοτρόπως τὴν θρησκείαν προσάγουσιν αὐτῷ ταύτην, διαμαρτάνουσιν. 3. ἃ γὰρ τοῖς ἀναισθήτοις καὶ κωφοῖς προσφέροντες οἱ Ἕλληνες ἀφροσύνης δεῖγμα παρέχουσι, ταῦθ' οὗτοι καθάπερ προσδεομένῳ τῷ θεῷ λογιζόμενοι παρέχειν μωρίαν εἰκὸς μᾶλλον ἡγοῖντ' ἄν, οὐ θεοσέβειαν. 4. ὁ γὰρ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς καὶ πᾶσιν ἡμῖν χορηγῶν ὧν προσδεόμεθα, οὐδενὸς ἂν αὐτὸς προσδέοιτο τούτων ὧν τοῖς οἰομένοις διδόναι παρέχει αὐτός. 5. οἱ δέ γε θυσίας αὐτῷ δι' αἵματος καὶ κνίσης καὶ ὁλοκαυτωμάτων ἐπιτελεῖν οἰόμενοι καὶ ταύταις ταῖς τιμαῖς αὐτὸν γεραίρειν, οὐδέν μοι δοκοῦσι διαφέρειν τῶν εἰς τὰ κωφὰ τὴν αὐτὴν ἐνδεικνυμένων φιλοτιμίαν· τῶν [μὲν] μὴ δυναμένοις τῆς τιμῆς μεταλαμβάνειν, τῶν δὲ δοκούντων παρέχειν τῷ μηδενὸς προσδεομένῳ.

IV. Ἀλλὰ μὴν τό γε περὶ τὰς βρώσεις αὐτῶν ψοφοδεές, καὶ τὴν περὶ τὰ σάββατα δεισιδαιμονίαν, καὶ τὴν τῆς περιτομῆς ἀλαζονείαν, καὶ τὴν τῆς νηστείας καὶ νουμηνίας εἰρωνείαν, καταγέλαστα καὶ οὐδενὸς ἄξια λόγου [οὐ] νομίζω σε χρῄζειν παρ' ἐμοῦ μαθεῖν. 2. τό τε γὰρ

1. *μὲν ἂν* em Ln: om *ἂν* cod (addi voluit *ἂν* post *ἔχοιμι* Kr) | *κἂν* c. cod^{cz} (*κὰν*) et Br^{ms}: *καὶ* St^{ms} (Kr) | 2. *πλείω* c. cod^{cz} (‚evidenter, prima manu') et Br^{ms}: om St^{ms}, spatio vacuo relicto (in mg *πλείω*) | 5. *καλῶς* em Hg (*Ztschr. f. wiss. Theol.* 1873 p. 275): *καὶ εἰς* cod, coniecit *καὶ εἰ* St (qui post *πάντων* addi voluit *κτιστὴν*) Sg, *καὶ ὡς* Otto, *κτιστὴν* Ln (it. Bn, non omisso *καὶ*) | 6. *σέβειν — φρονεῖν*: coniecit *δεσπότην εὐσεβεῖν — ἀξίως φρονοῦσιν* Kr (excidisse putans *διδάσκουσιν* sive *παραγγέλλουσιν*), *σέβεσθαι δεσπότην ἀξιοῦσι, φρονοῦσιν* Sch (Overbeck), *σέβειν — φρονοῖεν ἂν* Hn, *σέβειν — φρονίμως* Bn | 7. *ταύτην*: coniecit *ταύτης* Bn, (*αὐτῷ*,) *ταὐτὸν* Kr | 10. Cod^{cz} in mg glossam praebet ‚a muribus ex parte corrosam': *ὅτι ὁ θεὸς ... δεῖς ἐστ .. οὐδενο ... προσφ ... αὐτῶ ὡς ... εἰρηκ ... γὰρ ἐκῶν ... ρῶν ὑμῶ ... ἐξήτησε* (sic?) | *εἰκὸς*: coniecit *ὡς εἰκὸς* vel *εἰκότως* St | *ἡγοῖντ'*: maluit *ἡγοῦντ'* Bn | 11. *οὐ*: coniecit *ἢ* St | 14. *κνίσης* ex *κνίσεις* corr. cod^{cz} | 16. *εἰς τὰ* (cod^{cz} ‚evidenter'): ... *τὰ* St^{ms} (in mg *εἰς τὰ*) | 16 sq. *ἐνδεικνυμένων* em St: *ἐνδεικνύμενοι* cod^{cz}, *ἐνδεικνυμένοις* St^{ms} (et Br^{ms}?) | 17. *τῶν μὲν μὴ δυναμένοις* (*-μένων* Ln) edidi: *τῶν μὴ δυναμένων* cod, coniecit *τὰ μὴ δυνάμενα* St (Otto) | 18. *τῶν δὲ δοκούντων* em Ln: *τὸ δὲ δοκεῖν τινα* cod, coniecit *τῷ γε δοκ. τ.* St, *τῷ δὲ δοκ. τ.* Mr, *τῷ δὴ δοκ. τ.* Nolte (Hef). Lacunam suspicati sunt St Sg (qui supplendum esse censuit *πάμπαν ἐστὶν ἠλίθιον*) Hn (*τίνα ἂν νοῦν ἔχοι* seu *γελοῖον καὶ ἄτοπον ἂν εἴη*), glossam Otto, qui *τὸ δὲ — προσδεομένῳ* eiecit | 19. *τό γε*: maluit *τό τε* Bn | 20. *τὴν τῆς*: coniecit *τὴν περὶ τῆς* St | 21. *οὐδενὸς* cod^{cz} (et Br^{ms}? vertit ‚omnis expertia rationis'): *οὐδὲν* St^{ms} (in mg *οὐδενὸς*) | 22. *οὐ* add St: om cod (eti Otto) | *τό τε*: coniecit *τὸ μὲν* Bn

τῶν ὑπὸ τοῦ θεοῦ κτισθέντων εἰς χρῆσιν ἀνθρώπων ἃ μὲν ὡς καλῶς κτισθέντα παραδέχεσθαι, ἃ δ' ὡς ἄχρηστα καὶ περισσὰ παραιτεῖσθαι, πῶς οὐκ ἀθέμιστον; 3. τὸ δὲ καταψεύδεσθαι θεοῦ ὡς κωλύοντος ἐν τῇ τῶν σαββάτων ἡμέρᾳ καλόν τι ποιεῖν, πῶς οὐκ ἀσεβές; 4. τὸ δὲ καὶ τὴν μείωσιν τῆς σαρκὸς μαρτύριον ἐκλογῆς ἀλαζονεύεσθαι ὡς διὰ τοῦτο ἐξαιρέτως ἠγαπημένους ὑπὸ θεοῦ, πῶς οὐ χλεύης ἄξιον; 5. τὸ δὲ παρεδρεύοντας αὐτοὺς ἄστροις καὶ σελήνῃ τὴν παρατήρησιν τῶν μηνῶν καὶ τῶν ἡμερῶν ποιεῖσθαι, καὶ τὰς οἰκονομίας θεοῦ καὶ τὰς τῶν καιρῶν ἀλλαγὰς καταδιαιρεῖν πρὸς τὰς αὐτῶν ὁρμάς, ἃς μὲν εἰς ἑορτάς, ἃς δὲ εἰς πένθη· τίς ἂν θεοσεβείας καὶ οὐκ ἀφροσύνης πολὺ πλέον ἡγήσαιτο δεῖγμα; 6. τῆς μὲν οὖν κοινῆς εἰκαιότητος καὶ ἀπάτης καὶ τῆς Ἰουδαίων πολυπραγμοσύνης καὶ ἀλαζονείας [ὡς] ὀρθῶς ἀπέχονται Χριστιανοί, ἀρκούντως σε νομίζω μεμαθηκέναι· τὸ δὲ τῆς ἰδίας αὐτῶν θεοσεβείας μυστήριον μὴ προσδοκήσῃς δύνασθαι παρὰ ἀνθρώπου μαθεῖν.

V. Χριστιανοὶ γὰρ οὔτε γῇ οὔτε φωνῇ οὔτε ἔθεσι διακεκριμένοι τῶν λοιπῶν εἰσὶν ἀνθρώπων. 2. οὔτε γάρ που πόλεις ἰδίας κατοικοῦσιν οὔτε διαλέκτῳ τινὶ παρηλλαγμένῃ χρῶνται οὔτε βίον παράσημον ἀσκοῦσιν. 3. οὐ μὴν ἐπινοίᾳ τινὶ καὶ φροντίδι πολυπραγμόνων ἀνθρώπων μάθημα τοιοῦτ' αὐτοῖς ἐστὶν εὑρημένον, οὐδὲ δόγματος ἀνθρωπίνου προεστᾶσιν ὥσπερ ἔνιοι. 4. κατοικοῦντες δὲ πόλεις Ἑλληνίδας τε καὶ βαρβάρους ὡς ἕκαστος ἐκληρώθη, καὶ τοῖς ἐγχωρίοις ἔθεσιν ἀκολουθοῦντες ἔν τε ἐσθῆτι καὶ διαίτῃ καὶ τῷ λοιπῷ βίῳ, θαυμαστὴν καὶ ὁμολογουμένως παράδοξον ἐνδείκνυνται τὴν κατάστασιν τῆς ἑαυτῶν πολιτείας. 5. πατρίδας οἰκοῦσιν ἰδίας, ἀλλ' ὡς πάροικοι·

3. *οὐκ ἀθέμιστον* edidi (*οὐκ ἀθέμιτόν ἐστι* St): *οὐ θέμις ἐστί* cod, coniecit *θέμις ἐστί* Hef (it. Otto, addens coniecturam *οὖν θέμις ἐστί*), *οὐ μέθης ἐστίν* Ln | 5. *μαρτύριον* cod^{cz} (,perspicue') et Br^{ms}: *μαρτύῤ* St^{ms} (in mg *μαρτύριον*) | 6. *χλεύης* cod^{cz} (,perspicue') et Br^{ms}: *χλ* .... St^{ms} (in mg *χλεύης*) | 7. *τὴν* cod^{cz}: om St^{ms} (et Br^{ms}?) | 8. *μηνῶν* cod^{cz} (et Br^{ms}?): *μ* .... St^{ms} (in mg *μηνῶν*) | 9. *καταδιαιρεῖν*: *κατα* .... St^{ms} (prius *κατα∂* scriptum erat, sed *∂* expunctum) et Br^{ms} (hic alia manu additum *διαιρεῖν*), *κατα∂* .... *εῖν* cod^{cz} (reliquae litterae aliquantum evanuerunt'), coniecit *καταρρυθμίζειν* St | 11. *ἡγήσαιτο* em Ln (Sch): *ἡγήσεται τὸ* cod, coniecit *ἡγήσηται τὸ* St | 12. *ὡς* add Bn: om cod, add *ὅτι* St al | 13. *σε* et in cod^{cz} (alia manu) et in St^{ms} substitutum pro *τε* prius scripto | 16. Cod^{cz} in mg hanc offert notam ,a muribus paullisper corrosam': *ἔνθεν περ[ὶ] Χριστια[νῶν] ἄρχετα[ι]* | *ἔθεσι*: *ἔσθεσι* cod^{cz} | 20. *μάθημα τοιοῦτ'* em van Hengel (ap. Ott.): *μαθήματι τοῦτ'* cod, coniecit *μάθημα τοῦτ'* Mr, *μάθημά τι τοῦτ'* St (it. omisso *τοῦτ'* Kr) | *εὑρημένον* em St (Br): *εἰρημένον* cod (Otto al), coniecit *ἠρημένον* Sg | 20 sq. Cod^{cz} in mg hanc praebet glossam: *ὅτι δόγματος ἀ[νθρωπίνου] οἱ Χριστιανοὶ οὐκ ἀντιλαμβάνονται, ἀ[λλὰ Χριστοῦ]. οὐδὲ γάρ, φησιν ὁ ἀπόστολος Παῦλος, παρὰ ἀνθρώπου παρέλαβον αὐτό.* | 22. *καὶ* sec em Otto: *ἐν* cod, coniecit *καὶ ἐν* Mr

μετέχουσι πάντων ὡς πολῖται, καὶ πάνθ᾿ ὑπομένουσιν ὡς ξένοι· πᾶσα ξένη πατρίς ἐστιν αὐτῶν, καὶ πᾶσα πατρὶς ξένη. 6. γαμοῦσιν ὡς πάντες, τεκνογονοῦσιν· ἀλλ᾿ οὐ ῥίπτουσι τὰ γεννώμενα. 7. τράπεζαν κοινὴν παρατίθενται, ἀλλ᾿ οὐ κοινήν. 8. ἐν σαρκὶ τυγχάνουσιν, ἀλλ᾿ οὐ κατὰ σάρκα ζῶσιν. 9. ἐπὶ γῆς διατρίβουσιν, ἀλλ᾿ ἐν οὐρανῷ πολιτεύονται. 10. πείθονται τοῖς ὡρισμένοις νόμοις, καὶ τοῖς ἰδίοις βίοις νικῶσι τοὺς νόμους. 11. ἀγαπῶσι πάντας, καὶ ὑπὸ πάντων διώκονται. 12. ἀγνοοῦνται, καὶ κατακρίνονται· θανατοῦνται, καὶ ζωοποιοῦνται. 13. πτωχεύουσι, καὶ πλουτίζουσι πολλούς· πάντων ὑστεροῦνται, καὶ ἐν πᾶσι περισσεύουσιν. 14. ἀτιμοῦνται, καὶ ἐν ταῖς ἀτιμίαις δοξάζονται· βλασφημοῦνται, καὶ δικαιοῦνται. 15. λοιδοροῦνται, καὶ εὐλογοῦσιν· ὑβρίζονται, καὶ τιμῶσιν. 16. ἀγαθοποιοῦντες ὡς κακοὶ κολάζονται· κολαζόμενοι χαίρουσιν ὡς ζωοποιούμενοι. 17. ὑπὸ Ἰουδαίων ὡς ἀλλόφυλοι πολεμοῦνται καὶ ὑπὸ Ἑλλήνων διώκονται, καὶ τὴν αἰτίαν τῆς ἔχθρας εἰπεῖν οἱ μισοῦντες οὐκ ἔχουσιν.

VI. Ἁπλῶς δ᾿ εἰπεῖν, ὅπερ ἐστὶν ἐν σώματι ψυχή, τοῦτ᾿ εἰσὶν ἐν κόσμῳ Χριστιανοί. 2. ἔσπαρται κατὰ πάντων τῶν τοῦ σώματος μελῶν ἡ ψυχή, καὶ Χριστιανοὶ κατὰ τὰς τοῦ κόσμου πόλεις. 3. οἰκεῖ μὲν ἐν τῷ σώματι ψυχή, οὐκ ἔστι δὲ ἐκ τοῦ σώματος· καὶ Χριστιανοὶ ἐν κόσμῳ οἰκοῦσιν, οὐκ εἰσὶ δὲ ἐκ τοῦ κόσμου. 4. ἀόρατος ἡ ψυχὴ ἐν ὁρατῷ φρουρεῖται τῷ σώματι· καὶ Χριστιανοὶ γινώσκονται μὲν ὄντες ἐν τῷ κόσμῳ, ἀόρατος δὲ αὐτῶν ἡ θεοσέβεια μένει. 5. μισεῖ τὴν ψυχὴν ἡ σὰρξ καὶ πολεμεῖ μηδὲν ἀδικουμένη, διότι ταῖς ἡδοναῖς κωλύεται χρῆσθαι· μισεῖ καὶ Χριστιανοὺς ὁ κόσμος μηδὲν ἀδικούμενος, ὅτι ταῖς ἡδοναῖς ἀντιτάσσονται. 6. ἡ ψυχὴ τὴν μισοῦσαν ἀγαπᾷ σάρκα καὶ τὰ μέλη· καὶ Χριστιανοὶ τοὺς μισοῦντας ἀγαπῶσιν. 7. ἐγκέκλεισται μὲν ἡ ψυχὴ τῷ σώματι, συνέχει δὲ αὐτὴ τὸ σῶμα· καὶ Χριστιανοὶ κατέχονται μὲν ὡς ἐν φρουρᾷ τῷ κόσμῳ, αὐτοὶ δὲ συνέχουσι τὸν κόσμον. 8. ἀθάνατος ἡ ψυχὴ ἐν θνητῷ σκηνώματι κατοικεῖ· καὶ Χριστιανοὶ παροικοῦσιν ἐν φθαρτοῖς, τὴν ἐν οὐρανοῖς ἀφθαρσίαν προσδεχόμενοι. 9. κακουργουμένη σιτίοις καὶ ποτοῖς ἡ ψυχὴ βελτιοῦται· καὶ Χριστιανοὶ κολαζόμενοι καθ᾿ ἡμέραν πλεονάζουσι μᾶλλον. 10. εἰς τοσαύτην αὐτοὺς τάξιν ἔθετο ὁ θεός, ἣν οὐ θεμιτὸν αὐτοῖς παραιτήσασθαι.

2 sq. *ὡς πάντες*: ‚Exspectabas addita esse fere haec verba: *ἀλλ᾿ οὐ ποιοῦνται διγαμίας* ... aut legendum est saltem *γαμοῦσιν ὡς πάντες καὶ τεκνογ.* (ita Bn), *ἀλλ᾿ κτλ.*‘ Otto | 4. *ἀλλ᾿ οὐ* cod[cz] (‚litteris *λλ᾿ οὐ* paullulum renovatis, sed antiqua manu‘): *ἀλλ᾿* .. St[ms] (in mg *ἀλλὰ* et *ἀλλ᾿ οὐ*) Br[ms] | *κοινήν*: coniecerunt *κοίτην* Mr Bn, *πάντη κοινήν* vel (omisso *οὐ*) *ὁσίως κοινήν* Sg | 11. *δικαιοῦνται*: praem *οὐ* Kestnerus (ap. Ott.) vertens: ‚*man verleumdet sie, sie rechtfertigen sich nicht*‘. | 22. *μὲν ὄντες* (St): *μένοντες* cod | 33. *τοσαύτην*: coniecit *τοιαύτην* Ln (Bn)

VII. Οὐ γὰρ ἐπίγειον, ὡς ἔφην, εὕρημα τοῦτ' αὐτοῖς παρεδόθη, οὐδὲ θνητὴν ἐπίνοιαν φυλάσσειν οὕτως ἀξιοῦσιν ἐπιμελῶς, οὐδὲ ἀνθρωπίνων οἰκονομίαν μυστηρίων πεπίστευνται. 2. ἀλλ' αὐτὸς ἀληθῶς ὁ παντοκράτωρ καὶ παντοκτίστης καὶ ἀόρατος θεός, αὐτὸς ἀπ' οὐρανῶν τὴν ἀλήθειαν καὶ τὸν λόγον τὸν ἅγιον καὶ ἀπερινόητον ἀνθρώποις ἐνίδρυσε καὶ ἐγκατεστήριξε ταῖς καρδίαις αὐτῶν, οὐ καθάπερ ἄν τις εἰκάσειεν ἄνθρωπος, ὑπηρέτην τινὰ πέμψας ἢ ἄγγελον ἢ ἄρχοντα ἤ τινα τῶν διεπόντων τὰ ἐπίγεια ἤ τινα τῶν πεπιστευμένων τὰς ἐν οὐρανοῖς διοικήσεις, ἀλλ' αὐτὸν τὸν τεχνίτην καὶ δημιουργὸν τῶν ὅλων, ᾧ τοὺς οὐρανοὺς ἔκτισεν, ᾧ τὴν θάλασσαν ἰδίοις ὅροις ἐνέκλεισεν, οὗ τὰ μυστήρια πιστῶς πάντα φυλάσσει τὰ στοιχεῖα, παρ' οὗ τὰ μέτρα τῶν τῆς ἡμέρας δρόμων [ἥλιος] εἴληφε φυλάσσειν, ᾧ πειθαρχεῖ σελήνη νυκτὶ φαίνειν κελεύοντι, ᾧ πειθαρχεῖ τὰ ἄστρα τῷ τῆς σελήνης ἀκολουθοῦντα δρόμῳ, ᾧ πάντα διατέτακται καὶ διώρισται καὶ ὑποτέτακται, οὐρανοὶ καὶ τὰ ἐν οὐρανοῖς, γῆ καὶ τὰ ἐν τῇ γῇ, θάλασσα καὶ τὰ ἐν τῇ θαλάσσῃ, πῦρ, ἀήρ, ἄβυσσος, τὰ ἐν ὕψεσι, τὰ ἐν βάθεσι, τὰ ἐν τῷ μεταξύ· τοῦτον πρὸς αὐτοὺς ἀπέστειλεν. 3. ἆρά γε, ὡς ἀνθρώπων ἄν τις λογίσαιτο, ἐπὶ τυραννίδι καὶ φόβῳ καὶ καταπλήξει; 4. οὐμενοῦν· ἀλλ' ἐν ἐπιεικείᾳ [καὶ] πραΰτητι ὡς βασιλεὺς πέμπων υἱὸν βασιλέα ἔπεμψεν, ὡς θεὸν ἔπεμψεν, ὡς [ἄνθρωπον] πρὸς ἀνθρώπους ἔπεμψεν, ὡς σώζων ἔπεμψεν, ὡς πείθων, οὐ βιαζόμενος· βία γὰρ οὐ πρόσεστι τῷ θεῷ. 5. ἔπεμψεν ὡς καλῶν, οὐ διώκων· ἔπεμψεν ὡς ἀγαπῶν, οὐ κρίνων. 6. πέμψει γὰρ αὐτὸν κρίνοντα, καὶ τίς αὐτοῦ τὴν παρουσίαν ὑποστήσεται; . . . 7. [οὐχ ὁρᾷς] παραβαλλομένους θηρίοις, ἵνα ἀρνήσωνται τὸν κύριον,

3. *ἀληθῶς ὁ* (om *ἀληθῶς* Sted, non item Stms): coniecit *ὁ ἀληθῶς* Sch | 4. *αὐτὸς*: maluit *αὐτοῖς* Sch | 5. *ἅγιον* codcz et Brms: *ἁ* .... Stms (in mg ‚lego *ἅγιον*') | 6. *ἐνίδρυσε* codcz et Brms: *ἐνίδρυτο* Stms, *ἐνίδρυται* Sted | 7. *ἄνθρωπος* em Bn: *ἀνθρώποις* cod, fort. leg. *ἀνθρώπων*, cf v. 3 | 12. *ἥλιος* add St (‚vel *ὁ ἥλιος*'): om cod, add (*ὁ*) *ἥλιος* alii ante (Hef) vel post (Otto) *φυλάσσειν* | 13. *σελήνη*: praem *ἡ* Otto | 15. *οὐρανοῖς*: praem *τοῖς* Otto | 19. *ἐπιεικείᾳ καὶ* (‚vel *ἐν*' St): om *καὶ* cod | 20. *βασιλεὺς*: *βασι* .... Stms(ed *βασιλεὺς*) | 21. *ἄνθρωπον* add Ln (Bn): om cod, fort. omisso *ἄνθρωπον* pro *πρὸς ἀνθρώπους* legendum *πατὴρ ἀνθρώπων* | 24. *κρίνοντα*: coniecit *κρινοῦντα* St (Bn) | *ὑποστήσεται κτλ*: exstat lacuna et in codcz et in Stms (et in Brm?), in utroque his verbis in mg adscriptis: *οὕτως καὶ* (om *καὶ* St) *ἐν τῷ ἀντιγράφῳ εὗρον ἐγκοπήν, παλαιοτάτου ὄντος* (pro *παλαιοτάτῳ ὄντι*, ut St monuit). Multa desiderari putavit St, nihil nisi *οὐχ ὁρᾷς* (quod Stephano debetur) Hef; Sg hoc prope modo lacunam expleri posse censuit: *καὶ ταύτην δὲ τὴν παρουσίαν αὐτοῦ ἀνενδοιάστως παραδοκῶντας τοὺς κατὰ πᾶσαν τὴν γῆν ἐπ' αὐτὸν πεπιστευκότας, οὐδὲν τοπαράπαν ἐστὶ τὸ ἐκφοβεῖν ἢ δουλαγωγεῖν δυνάμενον. οὐχ ὁρᾷς γὰρ πολλαχοῦ κεφαλοτομουμένους τε καὶ σταυρουμένους καὶ παραβαλλομένους κτλ* (cf Iust. Dial. c. Tryph. c. 110)

καὶ μὴ νικωμένους; 8. οὐχ ὁρᾷς ὅσῳ πλείονες κολάζονται, τοσούτῳ πλεονάζοντας ἄλλους; 9. ταῦτα ἀνθρώπου οὐ δοκεῖ τὰ ἔργα, ταῦτα δύναμίς ἐστι θεοῦ· ταῦτα τῆς παρουσίας αὐτοῦ δείγματα.

VIII. Τίς γὰρ ὅλως ἀνθρώπων ἠπίστατο τί ποτ' ἐστὶ θεός, πρὶν αὐτὸν ἐλθεῖν; 2. ἢ τοὺς κενοὺς καὶ ληρώδεις ἐκείνων λόγους ἀποδέχῃ τῶν ἀξιοπίστων φιλοσόφων; ὧν οἱ μέν τινες πῦρ ἔφασαν εἶναι τὸν θεόν (οὗ μέλλουσι χωρήσειν αὐτοί, τοῦτο καλοῦσι θεόν), οἱ δὲ ὕδωρ, οἱ δ' ἄλλο τι τῶν στοιχείων τῶν ἐκτισμένων ὑπὸ θεοῦ. 3. καίτοι γε εἴ τις τούτων τῶν λόγων ἀπόδεκτός ἐστι, δύναιτ' ἂν καὶ τῶν λοιπῶν κτισμάτων ἓν ἕκαστον ὁμοίως ἀποφαίνεσθαι θεόν. 4. ἀλλὰ ταῦτα μὲν τερατεία καὶ πλάνη τῶν γοήτων ἐστίν· 5. ἀνθρώπων δὲ οὐδεὶς οὔτε εἶδεν οὔτε ἐγνώρισεν, αὐτὸς δὲ ἑαυτὸν ἐπέδειξεν. 6. ἐπέδειξε δὲ διὰ πίστεως, ᾗ μόνῃ θεὸν ἰδεῖν συγκεχώρηται. 7. Ὁ γὰρ δεσπότης καὶ δημιουργὸς τῶν ὅλων θεός, ὁ ποιήσας τὰ πάντα καὶ κατὰ τάξιν διακρίνας, οὐ μόνον φιλάνθρωπος ἐγένετο ἀλλὰ καὶ μακρόθυμος. 8. ἀλλ' οὗτος ἦν μὲν ἀεὶ τοιοῦτος, καὶ ἔστι, καὶ ἔσται· χρηστὸς καὶ ἀγαθὸς καὶ ἀόργητος καὶ ἀληθής, καὶ μόνος ἀγαθός ἐστιν· 9. ἐννοήσας δὲ μεγάλην καὶ ἄφραστον ἔννοιαν ἀνεκοινώσατο μόνῳ τῷ παιδί. 10. Ἐν ὅσῳ μὲν οὖν κατεῖχεν ἐν μυστηρίῳ καὶ διετήρει τὴν σοφὴν αὐτοῦ βουλήν, ἀμελεῖν ἡμῶν καὶ ἀφροντιστεῖν ἐδόκει· 11. ἐπεὶ δὲ ἀπεκάλυψε διὰ τοῦ ἀγαπητοῦ παιδὸς καὶ ἐφανέρωσε τὰ ἐξ ἀρχῆς ἡτοιμασμένα, πάνθ' ἅμα παρέσχεν ἡμῖν, καὶ μετασχεῖν τῶν εὐεργεσιῶν αὐτοῦ καὶ ἰδεῖν καὶ νοῆσαι ἃ τίς ἂν πώποτε προσεδόκησεν ἡμῶν;

IX. Πάντ' οὖν ἤδη παρ' ἑαυτῷ σὺν τῷ παιδὶ οἰκονομηκώς, μέρχι μὲν τοῦ πρόσθεν χρόνου εἴασεν ἡμᾶς ὡς ἐβουλόμεθα ἀτάκτοις

1. *κολάζονται* cod^{cz}: *κολάζοντες* St^{ms} (et Br^{ms}?) | 2. *ταῦτα κτλ*: maluit *ταῦτα ἀνθρώπου* (vel *ἀνθρώπων*) *δοκεῖ τὰ ἔργα;* St | 3. *δείγματα* em St (tacite): *δόγματα* cod^{cz} et St^{ms} (eti Br^{ms}?) | 5. *ἀποδέχῃ*: *ἀποδέχοι* Bn (tacite) | 6. *μέν τινες πῦρ* cod^{cz} (ubi vocis *τινες* litterae ‚oculos paullulum fugiunt'): *μέν ..... πῦρ* St^{ms} (in mg *τινές*), *μὲν πῦρ* Br^{ms} | 9. *δύναιτ'*: maluerunt *δύναιντ'* St al | 10. *θεόν*: coniecit *θεός* Bn | 12. *εἶδεν* (Br^{ms}?): *εἶπεν* cod^{cz} et St^{ms} (non item St^{ed}) | 13. *μόνῃ* (eti St^{ms}): *μόνον* cod^{cz} | 17. *καὶ ἀγαθὸς*: haec redundare videntur (St); nisi forte pro *ἀγαθὸς* legendum *ἀγανὸς* (Hn) | 18. *ἀνεκοινώσατο* em (Ln?, Bn errore: St): *ἣν ἐκοινώσατο* cod, coniecit *ταύτην ἐκοιν*. Otto, post *παιδί* aliqua excidisse putarunt St al (Kr) | 21. E regione verborum *ἐπεὶ δὲ κτλ* cod^{cz} in mg haec exhibet eademque St in suo codice invenit (et Br?): *ὅτι ἐκρύπτετο τοσούτους χρόνους τὸ μυστήριον τῆς ἁγίας τριάδος, μέχρι τοῦ βαπτίσματος τοῦ ἐν ἰορδάνῃ* | 23. *τῶν* cod^{cz} et St^{ms}: om St^{ed} (et Br^{ms}?) | *ἰδεῖν κ. νοῆσαι* (*κ. κατανοῆσαι* Mr) *ἃ τίς* em Ln: *ἰδεῖν κ. ποιῆσαι. τίς* cod^{cz} et Br^{ms}, *ἰδεῖν ......ῆσαι.. τίς* St^{ms} (coniecit *ἰδεῖν κ. ἀκοῦσαι. ἃ τίς*) | 24. *προσεδόκησεν* cod^{cz} et St^{ms}: *προσεδόκα* Br^{ms} | 25 sq. *Πάντ' οὖν ἤδη — μὲν τοῦ* em Ln: *πάντ' οὖν ᾔδει — οἰκονομικῶς*. (hucusque cap. VIII in edd ante Bn, tum cap. IX:) *μέχρι μὲν ουν τοῦ* cod

φοραῖς φέρεσθαι, ἡδοναῖς καὶ ἐπιθυμίαις ἀπαγομένους, οὐ πάντως ἐφηδόμενος τοῖς ἁμαρτήμασιν ἡμῶν, ἀλλ' ἀνεχόμενος, οὐδὲ τῷ τότε τῆς ἀδικίας καιρῷ συνευδοκῶν, ἀλλὰ τὸν νῦν τῆς δικαιοσύνης δημιουργῶν, ἵνα ἐν τῷ τότε χρόνῳ ἐλεγχθέντες ἐκ τῶν ἰδίων ἔργων ἀνάξιοι ζωῆς, νῦν ὑπὸ τῆς τοῦ θεοῦ χρηστότητος ἀξιωθῶμεν καὶ τὸ καθ' ἑαυτοὺς φανερώσαντες ἀδύνατον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ τῇ δυνάμει τοῦ θεοῦ δυνατοὶ γενηθῶμεν. 2. ἐπεὶ δὲ πεπλήρωτο μὲν ἡ ἡμετέρα ἀδικία καὶ τελείως πεφανέρωτο ὅτι ὁ μισθὸς αὐτῆς κόλασις καὶ θάνατος προσεδοκᾶτο, ἦλθε δὲ ὁ καιρὸς ὃν θεὸς προέθετο λοιπὸν φανερῶσαι τὴν ἑαυτοῦ χρηστότητα καὶ δύναμιν (ὢ τῆς ὑπερβαλλούσης φιλανθρωπίας καὶ ἀγάπης τοῦ θεοῦ), οὐκ ἐμίσησεν ἡμᾶς οὐδὲ ἀπώσατο οὐδὲ ἐμνησικάκησεν, ἀλλὰ ἐμακροθύμησεν, ἠνέσχετο, ἐλεῶν αὐτὸς τὰς ἡμετέρας ἁμαρτίας ἀνεδέξατο, αὐτὸς τὸν ἴδιον υἱὸν ἀπέδοτο λύτρον ὑπὲρ ἡμῶν, τὸν ἅγιον ὑπὲρ ἀνόμων, τὸν ἄκακον ὑπὲρ τῶν κακῶν, τὸν δίκαιον ὑπὲρ τῶν ἀδίκων, τὸν ἄφθαρτον ὑπὲρ τῶν φθαρτῶν, τὸν ἀθάνατον ὑπὲρ τῶν θνητῶν. 3. Τί γὰρ ἄλλο τὰς ἁμαρτίας ἡμῶν ἠδυνήθη καλύψαι ἢ ἐκείνου δικαιοσύνη; 4. ἐν τίνι δικαιωθῆναι δυνατὸν τοὺς ἀνόμους ἡμᾶς καὶ ἀσεβεῖς ἢ ἐν μόνῳ τῷ υἱῷ τοῦ θεοῦ; 5. ὢ τῆς γλυκείας ἀνταλλαγῆς, ὢ τῆς ἀνεξιχνιάστου δημιουργίας, ὢ τῶν ἀπροσδοκήτων εὐεργεσιῶν· ἵνα ἀνομία μὲν πολλῶν ἐν δικαίῳ ἑνὶ κρυβῇ, δικαιοσύνη δὲ ἑνὸς πολλοὺς ἀνόμους δικαιώσῃ. 6. ἐλέγξας οὖν ἐν μὲν τῷ πρόσθεν χρόνῳ τὸ ἀδύνατον τῆς ἡμετέρας φύσεως εἰς τὸ τυχεῖν ζωῆς, νῦν δὲ τὸν σωτῆρα δείξας δυνατὸν σώζειν καὶ τὰ ἀδύνατα, ἐξ ἀμφοτέρων ἐβουλήθη πιστεύειν ἡμᾶς τῇ χρηστότητι αὐτοῦ, αὐτὸν ἡγεῖσθαι τροφέα, πατέρα, διδάσκαλον, σύμβουλον, ἰατρόν, νοῦν, φῶς, τιμήν, δόξαν, ἰσχύν, ζωήν, περὶ ἐνδύσεως καὶ τροφῆς μὴ μεριμνᾶν.

X. Ταύτην καὶ σὺ τὴν πίστιν ἐὰν ποθῇς, κατάλαβε πρῶτον μὲν

1. *ἀπαγομένους* cod^{cz}: *ἀγομένους* St^{ms}, *ἀπαλλομένους* Br^{ms} | 3. *νῦν* em Hef et van Hengel: *νοῦν* cod | 6. *φανερώσαντες*: *-τας* St^{ms}, per errorem; namque in mg *τες* (*ες* compendio usitato) posuit, idque ni fallor ad similitudinem ipsius codicis | 8 sq. *μισθὸς αὐτῆς* cod^{cz} et Br^{ms}: *μισθὸς* . . *τῆς* St^{ms} (om etiam *τῆς* St^{ed}), coniecit *μισθὸς ἁμαρτίας* vel *μ. τῆς ἁμ.* St | 11. *ὢ τῆς* em Otto (*ὦ* Mr): *ὡς τῆς* cod^{cz} (‚voculae *ως της* renovatae quidem sunt, sed apparet eas iam prima manu fuisse exaratas') et Br^{ms}, *ὡς* ... St^{ms} (in mg *τῆς*), coniecit *ὑπὸ τῆς* St | *καὶ ἀγάπης τοῦ θεοῦ* em St (om *τοῦ θεοῦ*) Le: *μία ἀγάπη τοῦ θεοῦ* cod^{cz} et Br^{ms}, *μία ἀγάπη* ...... St^{ms} | 13. *ἐλεῶν* em Ln: *λέγων* cod (om *λέγων* Hef, om *ἠνέσχ.* — *ἀνεδέξατο* Otto suadente Sg), coniecit *ἑκὼν* Nolte | 14. *ἀνόμων*: praem *τῶν* Otto | 27. *περὶ* — *μεριμνᾶν*: ‚fort. glossema' Otto | 28. *ποθῇς* St^{ed} (notat dubium esse utrum sic an *ποθήσῃς* in codice legatur): *ποθήσῃς* cod^{cz} et Br^{ms}, *ποθη* St^{ms}, coniecit *ἐπιποθήσαις* (om *ἐὰν*) Ln | *κατάλαβε* edidi: *καὶ λάβῃς* cod, coniecit *καὶ λάβοις* Ln, nihil mutandum esse, sed apodosin excidisse censuit Kr

ἐπίγνωσιν πατρός. 2. ὁ γὰρ θεὸς τοὺς ἀνθρώπους ἠγάπησε, δι' οὓς ἐποίησε τὸν κόσμον, οἷς ὑπέταξε πάντα τὰ ἐν [τῇ γῇ], οἷς λόγον ἔδωκεν οἷς νοῦν, οἷς μόνοις ἄ[νω] πρὸς αὐτὸν ὁρᾶν ἐπέτρεψεν, οὓς ἐκ τῆς ἰδίας εἰκόνος ἔπλασε, πρὸς οὓς ἀπέστειλε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, οἷς τὴν ἐν οὐρανῷ βασιλείαν ἐπηγγείλατο καὶ δώσει τοῖς ἀγαπήσασιν αὐτόν. 3. ἐπιγνοὺς δέ, τίνος οἴει πληρωθήσεσθαι χαρᾶς; ἢ πῶς ἀγαπήσεις τὸν οὕτως προαγαπήσαντά σε; 4. ἀγαπήσας δὲ μιμητὴς ἔσῃ αὐτοῦ τῆς χρηστότητος. καὶ μὴ θαυμάσῃς εἰ δύναται μιμητὴς ἄνθρωπος γενέσθαι θεοῦ· δύναται θέλοντος αὐτοῦ. 5. οὐ γὰρ τὸ καταδυναστεύειν τῶν πλησίον οὐδὲ τὸ πλέον ἔχειν βούλεσθαι τῶν ἀσθενεστέρων οὐδὲ τὸ πλουτεῖν καὶ βιάζεσθαι τοὺς ὑποδεεστέρους εὐδαιμονεῖν ἐστίν, οὐδὲ ἐν τούτοις δύναταί τις μιμήσασθαι θεόν, ἀλλὰ ταῦτα ἐκτὸς τῆς ἐκείνου μεγαλειότητος· 6. ἀλλ' ὅστις τὸ τοῦ πλησίον ἀναδέχεται βάρος, ὃς ἐν ᾧ κρείσσων ἐστὶν ἕτερον τὸν ἐλαττούμενον εὐεργετεῖν ἐθέλει, ὃς ἃ παρὰ τοῦ θεοῦ λαβὼν ἔχει, ταῦτα τοῖς ἐπιδεομένοις χορηγῶν θεὸς γίνεται τῶν λαμβανόντων, οὗτος μιμητής ἐστι θεοῦ. 7. Τότε θεάσῃ τυγχάνων ἐπὶ γῆς ὅτι θεὸς ἐν οὐρανοῖς πολιτεύεται, τότε μυστήρια θεοῦ λαλεῖν ἄρξῃ, τότε τοὺς κολαζομένους ἐπὶ τῷ μὴ θέλειν ἀρνήσασθαι θεὸν καὶ ἀγαπήσεις καὶ θαυμάσεις, τότε τῆς ἀπάτης τοῦ κόσμου καὶ τῆς πλάνης καταγνώσῃ, ὅταν τὸ ἀληθῶς ἐν οὐρανῷ ζῆν ἐπιγνῷς, ὅταν τοῦ δοκοῦντος ἐνθάδε θανάτου καταφρονήσῃς, ὅταν τὸν ὄντως θάνατον φοβηθῇς, ὃς φυλάσσεται τοῖς κατακριθησομένοις εἰς τὸ πῦρ τὸ αἰώνιον, ὃ τοὺς παραδοθέντας αὐτῷ μέχρι τέλους κολάσει. 8. τότε τοὺς ὑπομένοντας ὑπὲρ δικαιοσύνης θαυμάσεις τὸ πῦρ τὸ πρόσ[καιρον], καὶ μακαρίσεις, ὅταν ἐκεῖνο τὸ πῦρ ἐπιγνῷς . . .

1. *πατρός* cod[cz] et Br[ms]: *π* . . . . St[ms] (in mg: ‚videtur esse *πε͂ρ*' | 2. *ἐν τῇ γῇ*: *ἐν* . . cod, coniecit *ἐν αὐτῷ* Bl (Bn); sed in cod[cz], ‚in quo prorsus evanuit lectio primitiva, spatii angustia duas tantum literas requirit, ut . . haud dubie *τῇ γῇ* legendum sit; scilicet in eo codice, ut in aliis, litera *η* supra lineam poni solet, hic igitur supra literas *τ* et *γ*'. Idem lacunae spatium testatur St, qui ad eam explendam primo *τῇ γῇ* in mg adscripserat, tum *τῇ* expunxit. | 3. *ἄνω* Br[ms]: *ἀ* . . cod[cz] et St[ms] | *αὐτὸν*: coniecit *οὐρανὸν* (*ουνον* pro *αυτον*) Ln | *ἐπέτρεψε* cod | 5. *καί*: praem *ἣν* Bn | 11. *ἀσθενεστέρων*: *ἀ* . . . *νεστέρων* St[ms] (in mg: ‚lego *ἀσθενεστέρων*') | 14. *ἀναδέχεται*: . *ναδέχεται* St[ms], superscripto *ανα* | *κρείσσων*: *κρείσσω*. St[ms] | *ἕτερος* St[ms], non it. St[ed] | 15. *ὃς ἃ* (van Hengel): *ὅσα* cod | 18. *οὐρανοῖς*: coniecit *ἀνθρώποις* (*ανοισ* pro *ουνοισ*) Sg | 21. *ἐπιγνῷς* em Ln: *ἐπιγνώσῃ* cod | *ὅταν* sec: coniecit *τότε* translator in *Protest. Kirchenz.* | 23. *τὸ πῦρ* cod[cz]: om *τὸ* St[ms] (et Br[ms]?) | 24. *κολάσει*: *κο* . . . . . St[ms] (in mg *κολάσει*) | 25. *θαυμάσεις* ex v. 7 irrepsisse censuit Kr | *τὸ πρόσκαιρον* (‚vel *τὸ ἐπίγειον*') Sg: in cod[cz] post *τὸ* ‚superesse videntur aliqua vocis *προς* vestigia', *τὸ* . . . . . St[ms] (et Br[ms] ut vdtr) | *καὶ* cod[cz] in mg (‚tamquam additamentum, quod tamen a prima manu videtur profectum esse') et St[ms] in mg: om St[ed] (et Br[ms]?), coniecit *καὶ τότε αὐτοὺς* Sg | 26. In cod[cz] mg et in St[ms] (eti in Br[ms]?) haec exstat librarii nota: *καὶ ὧδε ἐγκοπὴν εἶχε τὸ* (*εἶχεν ὑ* cod[cz]) *ἀντίγραφον*

[XI. Οὐ ξένα ὁμιλῶ οὐδὲ παραλόγως ζητῶ, ἀλλὰ ἀποστόλων γενόμενος μαθητὴς γίνομαι διδάσκαλος ἐθνῶν, τὰ παραδοθέντα ἀξίως ὑπηρετῶν γινομένοις ἀληθείας μαθηταῖς. 2. τίς γὰρ ὀρθῶς διδαχθεὶς καὶ λόγῳ προσφιλὴς γενηθεὶς οὐκ ἐπιζητεῖ σαφῶς μαθεῖν τὰ διὰ λόγου δειχθέντα φανερῶς μαθηταῖς; οἷς ἐφανέρωσεν ὁ λόγος φανείς, παρρησίᾳ λαλῶν, ὑπὸ ἀπίστων μὴ νοούμενος, μαθηταῖς δὲ διηγούμενος, οἳ πιστοὶ λογισθέντες ὑπ' αὐτοῦ ἔγνωσαν πατρὸς μυστήρια. 3. οὗ χάριν ἀπέστειλε λόγον, ἵνα κόσμῳ φανῇ, ὃς ὑπὸ λαοῦ ἀτιμασθείς, διὰ ἀποστόλων κηρυχθείς, ὑπὸ ἐθνῶν ἐπιστεύθη. 4. Οὗτος ὁ ἀπ' ἀρχῆς, ὁ καινὸς φανεὶς καὶ παλαιὸς εὑρεθεὶς καὶ πάντοτε νέος ἐν ἁγίων καρδίαις γεννώμενος· 5. οὗτος ὁ ἀεί, [ὁ] σήμερον υἱὸς λογισθείς, δι' οὗ πλουτίζεται ἡ ἐκκλησία καὶ χάρις ἁπλουμένη ἐν ἁγίοις πληθύνεται, παρέχουσα νοῦν, φανεροῦσα μυστήρια, διαγγέλλουσα καιρούς, χαίρουσα ἐπὶ πιστοῖς, ἐπιζητοῦσι δωρουμένη, οἷς ὅρκια πίστεως οὐ θραύεται οὐδὲ ὅρια πατέρων παρορίζεται. 6. εἶτα φόβος νόμου ᾄδεται καὶ προφητῶν χάρις γινώσκεται καὶ εὐαγγελίων πίστις ἵδρυται καὶ ἀποστόλων παράδοσις φυλάσσεται καὶ ἐκκλησίας χάρις σκιρτᾷ. 7. ἣν χάριν μὴ λυπῶν ἐπιγνώσῃ ἃ λόγος ὁμιλεῖ δι' ὧν βούλεται, ὅτε θέλει. 8. ὅσα γὰρ θελήματι τοῦ κελεύοντος λόγου ἐκινήθημεν ἐξειπεῖν μετὰ πόνου, ἐξ ἀγάπης τῶν ἀποκαλυφθέντων ἡμῖν γινόμεθα ὑμῖν κοινωνοί.

XII. Οἷς ἐντυχόντες καὶ ἀκούσαντες μετὰ σπουδῆς εἴσεσθε ὅσα παρέχει ὁ θεὸς τοῖς ἀγαπῶσιν ὀρθῶς, οἱ γενόμενοι παράδεισος τρυφῆς, πάγκαρπον ξύλον, εὐθαλοῦν, ἀνατείλαντες ἐν ἑαυτοῖς, ποικίλοις καρποῖς κεκοσμημένοι. 2. ἐν γὰρ τούτῳ τῷ χωρίῳ ξύλον γνώσεως καὶ ξύλον ζωῆς πεφύτευται· ἀλλ' οὐ τὸ τῆς γνώσεως ἀναιρεῖ, ἀλλ' ἡ παρακοὴ ἀναιρεῖ. 3. οὐδὲ γὰρ ἄσημα τὰ γεγραμμένα, ὡς θεὸς ἀπ' ἀρχῆς [ξύλον γνώσεως καὶ] ξύλον ζωῆς ἐν μέσῳ παραδείσου ἐφύτευσε, διὰ γνώσεως ζωὴν ἐπιδεικνύς. ᾗ μὴ καθαρῶς χρησάμενοι οἱ ἀπ'

1. *ζητῶ*: coniecit *ζηλῶ* Bn | 2. *ἀξίως* em Hb (Cr): *ἀξίοις* cod | 3. *ὑπηρετῶν* em Ln: *ὑπηρετῶ* cod | 4. *προσφιλὴς* em Mr: *προσφιλεῖ* (Br^{ms}, *προσφιλ . . εῖ* St^{ms}. ‚Tale interstitium, sed perbreve, etiam in codice Argent. invenitur, ita tamen ut, quum ibi radendo habeat ortum, prorsus nihil supplendum sit') cod, coniecit *προσφίλως* Cr | *γενηθεὶς* St^{ms}: *γεννηθεὶς* cod^{cz} (Br^{ms}?) St^{ed} et rell. ante Bn | 5. *δειχθέντα*: *δειχ . . . . .* St^{ms} (in mg *δειχθέντα*) | 6. Cod^{cz} in mg hanc praebet notam, ‚cuius tamen paucis tantum literis murium dentes pepercerunt': [*ὅτι*] *οἱ ἄνδρες* [*οὐκ ἔγνω*]*σαν μυ*[*στήρια*] *τοῦ πατρός* | 6 sq. *διηγούμενος*: coniecit *ἐξηγούμ.* vel *ἐκδιηγούμ.* St, *διηχούμενος* Ln | 10. *καὶ παλαιὸς* cod^{cz} et Br^{ms}: *καὶ . . . . . .* St^{ms} et ^{ed} (coniecit *καὶ ἀρχαῖος*) | 11. *ὁ* sec add Ln: om cod | 12. *ἡ* om St^{ms}, non it. St^{ed} | 15. *ὅρκια* em Ln: *ὅρια* cod | 16. *εὐαγγελίων*: fort. legendum *εὐαγγελιστῶν* | 18. *χάρις*: coniecit *χαρὰ* Ln | 20. *μετὰ πόνου* ante *γινόμεθα* l. sq. poni voluit Cr | 23. *τρυφῆς*: coniecit *τρύγης* Hn | 24. *ἀνατείλα . . . .* St^{ms} | 28. *ξύλον γνώσεως καὶ* add Bn: om cod

ἀρχῆς πλάνῃ τοῦ ὄφεως γεγύμνωνται. 4. οὐδὲ γὰρ ζωὴ ἄνευ γνώσεως, οὐδὲ γνῶσις ἀσφαλὴς ἄνευ ζωῆς ἀληθοῦς· διὸ πλησίον ἑκάτερον πεφύτευται. 5. ἣν δύναμιν ἐνιδὼν ὁ ἀπόστολος τήν τε ἄνευ ἀληθείας προστάγματος εἰς ζωὴν ἀσκουμένην γνῶσιν μεμφόμενος
I Cor. 8, 1. λέγει· *Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ.* 6. ὁ γὰρ νομίζων εἰδέναι τι ἄνευ γνώσεως ἀληθοῦς καὶ μαρτυρουμένης ὑπὸ τῆς ζωῆς, οὐκ ἔγνω· ὑπὸ τοῦ ὄφεως πλανᾶται, μὴ ἀγαπήσας τὸ ζῆν. ὁ δὲ μετὰ φόβου ἐπιγνοὺς καὶ ζωὴν ἐπιζητῶν ἐπ' ἐλπίδι φυτεύει, καρπὸν προσδοκῶν. 7. Ἤτω σοι καρδία γνῶσις, ζωὴ δὲ λόγος ἀληθής, χωρούμενος. 8. οὗ ξύλον φέρων καὶ καρπὸν [αἱ]ρῶν τρυγήσεις ἀεὶ τὰ παρὰ θεῷ ποθούμενα, ὧν ὄφις οὐχ ἅπτεται οὐδὲ πλάνη συγχρωτίζεται· οὐδὲ Εὔα φθείρεται, ἀλλὰ παρθένος πιστεύεται· 9. καὶ σωτήριον δείκνυται, καὶ ἀπόστολοι συνετίζονται, καὶ τὸ κυρίου πάσχα προέρχεται, καὶ καιροὶ συνάγονται καὶ μετακόσμια ἁρμόζεται, καὶ διδάσκων ἁγίους ὁ λόγος εὐφραίνεται, δι' οὗ πατὴρ δοξάζεται· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.]

1 sq. *οὐδὲ — οὐδὲ*: maluit *οὔτε — οὔτε* Bn | 4. *ἀληθείας*: ‚alius legerit *ἀγάπης*‘ Otto | 7. *ὑπὸ*: praem *καὶ* Br^{ms} (Bn Cr), add *δὲ* Sg, *τε* Hef | *μὴ* cod^{cz} Br^{ms} St^{ms}: miro errore solam litteram *μ* St edidit, cum ipse *μη* (*η* supra *μ* posito) ex codice suo exscripsisset. | 9. *Ἤτω*: add *οὖν* Br^{ms} | 9 sq. *χωρούμενος*: coniecit *χορηγούμενος* Bn | 10. *καρπὸν αἱρῶν* (Otto): *καρπὸν . . ρῶν* cod^{cz} (‚ante *ρῶν* exciderunt duae tantum literae, in quarum locum secunda manus syllabam *ευ*, quamquam non satis perspicue, substituit‘) et St^{ms}, *καρποῦ ἐρῶν* Br^{ms}, coniecit *καρπὸν ἐκπληρῶν* Sg, *καρπὸν χωρῶν* Bn | 11. *θεῷ*: maluit *θεοῦ* Sg | *ποθούμενα* cod^{cz} et St^{ms}: *πορούμενα* Br^{ms}, coniecit *εὐπορούμενα* Bn | 12. *οὐδὲ Εὔα*: coniecit *Εὔα οὐδὲ* Bn. Ad oram haec adscripta exhibet cod: *ὅτι τὴν εὔαν* (*εὖαν* St^{ms}) *μὴ* (om *μὴ* St^{ms}) *φθειρομένην, παρθένον ἀποκαλεῖ· φθαρεῖσαν* (*φθαρῶσαν* St^{ms}) *δὲ τῆς παρακοῆς πάντως εἰσεδέξατο τὸ ἐπιτίμιον, δηλονότι φθαρεῖσαν.* | 14. *καιροὶ* em Sg: *κηροὶ* cod (quod ‚non satis evidenter‘ St se legisse testatur, quamquam in St^{ms} nullum dubitationis indicium), coniecit *κληροὶ* Bn, *χοροὶ* Mr (Hef), *πηροὶ* Ln | *μετακόσμια* em Cr: *μετὰ κόσμου* cod, coniecit *πάντα μετὰ κόσμου* Bn | *ἁρμόζεται*: coniecit *ἁρμόζονται* Sg (Otto al).

INDICES

AD BARNABAE EPISTULAM.

INDEX LOCORUM VETERIS TESTAMENTI.

INDEX LOCORUM NOVI TESTAMENTI.[2]

---

1. Quae a Barnaba ll. 6, 13. 7, 4 sq. 11, 9. 10. 12, 1. 16, 5. 6 citantur, in bibliis et in libris apocryphis, quos nunc habemus, desiderantur.

2. Omnes hic exhibuimus N. T. locos, quos aliqua ex parte cum ep. Barnab. conferre licet.

3. Praeterea cf. Mt. 5—7 cum Barn. 19.

4. Notandum vero in cap. 11 Barnab. ep. aquam et crucem, in cap. 12 sanguinem et crucem esse coniunctas.

INDEX VOCABULORUM.

---

1. Heydecke Barnab. ep. capp. 19–20 conferri iussit cum Rom. 12. 13. Gal. 5, 13 –6, 10. Eph. 4, 22 sq. Coloss. 3. I Thess. 4. 5.
2. Praeterea Barnab. ep. capp. 5–6 cum ep. ad Hebr. compares.

Typis exscripserunt Ackermann et Glaser. Lipsiae.

BARNABAE EPISTULA

GRAECE ET LATINE

RECENSUERUNT ET ILLUSTRAVERUNT

PAPIAE QUAE SUPERSUNT
PRESBYTERORUM RELIQUIAS AB IRENAEO
SERVATAS VETUS ECCLESIAE ROMANAE
SYMBOLUM EPISTULAM AD DIOGNETUM

ADIECERUNT

OSCAR DE GEBHARDT **ADOLFUS HARNACK**

PATRUM APOSTOLICORUM OPERA
FASC. I PART. II ED. II



LIPSIAE
J. C. HINRICHS
1878




3 2044 021 156 971


FEB 1 0 1994
JUL 1 5 1994
BOOK DUE


WIDENER
WIDENER
FEB 1 7 2004
FEB 1 0 2001
CANCELLED
BOOK DUE

